# ATHENAEI DEIPNOSOPHISTAE

E RECOGNITIONE

**AUGUSTI MEINEKE**

VOL. III

CONTINENS LIB. XIII—XV. SUMMARIA ET INDICES

Acc. 42,903

BIBLIOTH: ACADEM: DORPAT:

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLIX

# ΙΓ

555 Ἀντιφάνης ὁ κωμῳδιοποιός, ἑταῖρε Τιμόκρατες, ὡς ἀνεγίνωσκέ τινα τῷ βασιλεῖ Ἀλεξάνδρῳ τῶν ἑαυτοῦ κωμῳδιῶν, ὃ δὲ δῆλος ἦν οὐ πάνυ τι ἀποδεχόμενος, δεῖ γάρ, ἔφησεν, ὦ βασιλεῦ, τὸν ταῦτ' ἀποδεξόμενον ἀπὸ συμβόλων τε πολλάκις δεδειπνηκέναι καὶ περὶ ἑταίρας πλεονάκις καὶ εἰληφέναι καὶ δεδωκέναι πληγάς, ὥς φησι Λυκόφρων ὁ Χαλκιδεὺς ἐν τοῖς περὶ κωμῳδίας. ἡμεῖς οὖν τὸν περὶ ἐρωτικῶν λόγον ἐν-
b ταῦθα μέλλοντες κατατάττειν (ἐγένοντο γὰρ καὶ περὶ γαμετῶν καὶ ἑταιρῶν πολλάκις λόγοι, εἰδόσιν ἐκτιθέμενοι τὴν ἱστορίαν) τῶν Μουσῶν τὴν Ἐρατὼ ἐπικαλεσάμενοι, εἰς μνήμην ἡμῖν ἰέναι τὸν ἐρωτικὸν ἐκεῖνον κατάλογον, ἐντεῦθεν τὴν καταρχὴν ποιησόμεθα· 'εἰ δ' ἄγε νῦν, Ἐρατώ, πάρ θ' ἵστασο καί μοι ἔνισπε' τίνες λόγοι περὶ αὐτοῦ τοῦ ἔρωτος καὶ τῶν ἐρωτικῶν ἐλέχθησαν.

2. καὶ γὰρ τὰς γαμετὰς ὁ καλὸς ἡμῶν ἑστιάτωρ
c ἐπαινῶν Ἕρμιππον ἔφη ἐν τῷ περὶ νομοθετῶν ἱστορεῖν ὅτι ἐν Λακεδαίμονι εἰς οἴκημά τι σκοτεινὸν πᾶσαι συνεκλείοντο αἱ κόραι, συγκλειομένων καὶ τῶν ἀγάμων νεανίσκων· καὶ ἕκαστος ἧς ἐπιλάβοιτο ταύτην ἀπῆγεν ἄπροικον. διὸ καὶ Λύσανδρον ἐζημίωσαν, ὅτι καταλιπὼν τὴν προτέραν ἑτέραν ἐβουλεύετο περικαλλεστέραν ἀγαγέσθαι. Κλέαρχος δ' ὁ Σολεὺς ἐν τοῖς περὶ παροιμιῶν 'ἐν Λακεδαίμονι (φησὶ) τοὺς ἀγάμους αἱ γυναῖκες ἐν ἑορτῇ τινι περὶ τὸν βωμὸν ἕλκουσαι

ῥαπίζουσιν, ἵνα τὴν ἐκ τοῦ πράγματος ὕβριν φεύγον- d
τες φιλοστοργῶσί τε καὶ ἐν ὥρᾳ προσίωσι τοῖς γάμοις.
ἐν δὲ Ἀθήναις πρῶτος Κέκροψ μίαν ἑνὶ ἔζευξεν, ἀνέ-
δην τὸ πρότερον οὐσῶν τῶν συνόδων καὶ κοινογαμίων
ὄντων. διὸ καὶ ἔδοξέ τισι διφυὴς νομισθῆναι, οὐκ
εἰδότων τῶν πρότερον διὰ τὸ πλῆθος τὸν πατέρα.” ἐκ
τούτων οὖν τις ὁρμώμενος μέμψαιτ’ ἂν τοὺς περιτι-
θέντας Σωκράτει δύο γαμετὰς γυναῖκας, Ξανθίππην
καὶ τὴν Ἀριστείδου Μυρτώ, οὐ τοῦ δικαίου καλου-
μένου, οἱ χρόνοι γὰρ οὐ συγχωροῦσιν, ἀλλὰ τοῦ τρίτου
ἀπ’ ἐκείνου. εἰσὶ δὲ Καλλισθένης, Δημήτριος ὁ Φα- 556
ληρεύς, Σάτυρος ὁ περιπατητικός, Ἀριστόξενος, οἷς
τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν ἱστορῶν τοῦτο ἐν
τῷ περὶ εὐγενείας. εἰ μὴ ἄρα συγκεχωρημένον κατὰ
ψήφισμα τοῦτο ἐγένετο τότε διὰ σπάνιν ἀνθρώπων,
ὥστ’ ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον.
ὅθεν καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἀποσιωπῆσαι
τοῦτο, πολλάκις τοῦ Σωκράτους μνημονεύοντας. παρ-
έθετο δὲ τὸ περὶ τῶν γυναικῶν ψήφισμα Ἱερώνυμος
ὁ Ῥόδιος, ὅπερ σοι διαπέμψομαι εὐπορήσας τοῦ βι- b
βλίου. ἀντεῖπε δὲ τοῖς λέγουσι περὶ τῶν Σωκράτους
γυναικῶν Παναίτιος ὁ Ῥόδιος.

3. παρὰ δὲ Πέρσαις ἀνέχεται ἡ βασίλεια τοῦ πλή-
θους τῶν παλλακίδων διὰ τὸ ὡς δεσπότην ἄρχειν τῆς
γαμετῆς τὸν βασιλέα, ἔτι δὲ καὶ διὰ τὸ τὴν βασιλίδα,
ὥς φησι Δείνων ἐν τοῖς Περσικοῖς, ὑπὸ τῶν παλλα-
κίδων θρησκεύεσθαι· προσκυνοῦσι γοῦν αὐτήν. καὶ
ὁ Πρίαμος δὲ πολλαῖς χρῆται γυναιξὶ καὶ ἡ Ἑκάβη οὐ
δυσχεραίνει. λέγει γοῦν ὁ Πρίαμος

> ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν, c
> τοὺς δ’ ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.

παρὰ δὲ τοῖς Ἕλλησιν οὐκ ἀνέχεται ἡ τοῦ Φοίνικος μήτηρ τὴν τοῦ Ἀμύντορος παλλακίδα. Μήδεια δέ, καίπερ εἰδυῖα τὸ ἔθος ὅτι ἐστὶ βαρβαρικόν, οὐ φέρει οὐδὲ αὐτὴ τὸν Γλαύκης γάμον, ἤδη εἰς τὰ ἀμείνω καὶ ἑλληνικὰ ἐκδεδιῃτημένη. καὶ ἡ Κλυταιμνήστρα δὲ περιπαθὴς γενομένη τὴν Κασάνδραν σὺν αὐτῷ τῷ Ἀγαμέμνονι ἀποκτείνει, ἣν εἰς τὴν Ἑλλάδα ὁ κρείων ἐπηγάγετο ἐν ἔθει γενόμενος βαρβαρικῶν γάμων.
d "θαυμάσαι δ' ἄν τις (φησὶν Ἀριστοτέλης) ὅτι οὐδαμοῦ τῆς Ἰλιάδος Ὅμηρος ἐποίησε Μενελάῳ συγκοιμωμένην παλλακίδα πᾶσι δοὺς γυναῖκας. κοιμῶνται γοῦν παρ' αὐτῷ καὶ οἱ γέροντες μετὰ γυναικῶν, Νέστωρ καὶ Φοῖνιξ. οὐ γὰρ ἦσαν οὗτοι ἐκλελυμένοι τοῖς σώμασιν ἐν τοῖς τῆς νεότητος χρόνοις ἢ διὰ μέθης ἢ δι' ἀφροδισίων ἢ καὶ διὰ τῆς ἐν ταῖς ἀδηφαγίαις ἀπεψίας, ὥστε εἰκότως ἔρρωνται τῷ γήρᾳ. ἔοικεν οὖν ὁ Σπαρτιάτης αἰδεῖσθαι γαμετὴν οὖσαν τὴν Ἑλένην, ὑπὲρ ἧς καὶ τὴν στρατιὰν ἤθροισε· διόπερ φυλάττεται τὴν
e πρὸς ἄλλην κοινωνίαν. ὁ δ' Ἀγαμέμνων ὡς πολυγύναιος ὑπὸ Θερσίτου λοιδορεῖται

πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
πρωτίστῳ δίδομεν.

ἀλλ' οὐκ εἰκὸς (φησὶν ὁ Ἀριστοτέλης) εἰς χρῆσιν εἶναι τὸ πλῆθος τῶν γυναικῶν, ἀλλ' εἰς γέρας· ἐπεὶ οὐδὲ τὸν πολὺν οἶνον εἰς τὸ μεθύειν παρεσκευάσατο."

4. ὁ δὲ Ἡρακλῆς πλείστας δόξας ἐσχηκέναι γυναῖ-
f κας, ἦν γὰρ φιλογύνης, ἀνὰ μέρος αὐτὰς εἶχεν, ὡς ἂν στρατευόμενος καὶ κατὰ διάφορα γιγνόμενος χωρία· ἐξ ὧν καὶ τὸ τῶν τέκνων αὐτῷ πλῆθος ἐγένετο. ἐν ἑπτὰ μέντοι γε ἡμέραις πεντήκοντα διεπαρθένευσε Θεστίου κόρας, ὡς Ἡρόδωρος ἱστορεῖ. πολυγύναιος

δ᾽ ἐγένετο καὶ Αἰγεύς. πρώτην μὲν γὰρ ἔγημε τὴν
Ὅπλητος θυγατέρα, μεθ᾽ ἣν τῶν Χαλκώδοντος μίαν.
παραδοὺς δ᾽ ἀμφοτέρας φίλοις συνῆν πολλαῖς χωρὶς
γάμων. ἔπειτα τὴν Πιτθέως ἔλαβεν Αἴθραν, μεθ᾽ ἣν
Μήδειαν. Θησεὺς δὲ Ἑλένην ἁρπάσας ἑξῆς καὶ Ἀρι- 557
άδνην ἥρπασεν. Ἴστρος γοῦν ἐν τῇ τεσσαρεσκαιδεκάτῃ
τῶν Ἀττικῶν καταλέγων τὰς τοῦ Θησέως γενομένας
γυναῖκας φησὶ τὰς μὲν αὐτῶν ἐξ ἔρωτος γεγενῆσθαι,
τὰς δ᾽ ἐξ ἁρπαγῆς, ἄλλας δ᾽ ἐκ νομίμων γάμων· ἐξ ἁρ-
παγῆς μὲν Ἑλένην, ἐξ ἔρωτος δ᾽ Ἀριάδνην Ἱππολύτην
καὶ τὰς Κερκύονος καὶ Σίνιδος θυγατέρας, νομίμως δ᾽
αὐτὸν γῆμαι Μελίβοιαν τὴν Αἴαντος μητέρα. Ἡσίοδος
δέ φησι καὶ Ἵππην καὶ Αἴγλην, δι᾽ ἣν καὶ τοὺς πρὸς
Ἀριάδνην ὅρκους παρέβη, ὥς φησι Κέρκωψ. Φερε- b
κύδης δὲ προστίθησι καὶ Φερέβοιαν. πρὸ δὲ τῆς Ἑλέ-
νης καὶ ἐκ Τροίας ἥρπασεν Ἀναξώ. μετὰ δὲ τὴν
Ἱππολύτην Φαίδραν ἔσχεν.

5. Φίλιππος δὲ ὁ Μακεδὼν οὐ περιήγετο μὲν εἰς
τοὺς πολέμους γυναῖκας, ὥσπερ Δαρεῖος ὁ ὑπ᾽ Ἀλε-
ξάνδρου καταλυθείς, ὃς περὶ τῶν ὅλων πολεμῶν τρια-
κοσίας ἑξήκοντα περιήγετο παλλακάς, ὡς ἱστορεῖ Δι-
καίαρχος ἐν τρίτῳ περὶ τοῦ τῆς Ἑλλάδος βίου. ὁ δὲ
Φίλιππος ἀεὶ κατὰ πόλεμον ἐγάμει. ἐν ἔτεσι γοῦν εἴ-
κοσι καὶ δυσὶν οἷς ἐβασίλευσεν, ὥς φησι Σάτυρος ἐν c
τῷ περὶ τοῦ βίου αὐτοῦ, Αὐδάταν Ἰλλυρίδα γήμας
ἔσχεν ἐξ αὐτῆς θυγατέρα Κύνναν· ἔγημε δὲ καὶ Φίλαν,
ἀδελφὴν Δέρδα καὶ Μαχάτα. οἰκειώσασθαι δὲ θέλων
καὶ τὸ τῶν Θετταλῶν ἔθνος ἐπαιδοποιήσατο ἐκ δύο
Θετταλίδων γυναικῶν, ὧν ἡ μὲν ἦν Φεραία Νικησί-
πολις, ἥτις αὐτῷ ἐγέννησε Θετταλονίκην, ἡ δὲ Λαρι-
σαία Φίλιννα, ἐξ ἧς Ἀριδαῖον ἐτέκνωσε. προσεκτή-
σατο δὲ καὶ τὴν Μολοττῶν βασιλείαν γήμας Ὀλυμπιάδα,

d ἐξ ἧς ἔσχεν Ἀλέξανδρον καὶ Κλεοπάτραν. καὶ τὴν Θρᾴκην δὲ ὅτε εἷλεν, ἧκε πρὸς αὐτὸν Κοθήλας ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἄγων Μήδαν τὴν θυγατέρα καὶ δῶρα πολλά. γήμας δὲ καὶ ταύτην ἐπεισήγαγε τῇ Ὀλυμπιάδι. ἐπὶ πάσαις δὲ ἔγημε Κλεοπάτραν ἐρασθείς, τὴν Ἱπποστράτου μὲν ἀδελφὴν Ἀττάλου δὲ ἀδελφιδῆν· καὶ ταύτην ἐπεισαγαγὼν τῇ Ὀλυμπιάδι ἅπαντα τὸν βίον τὸν ἑαυτοῦ συνέχεεν. εὐθέως γὰρ ἐν αὐτοῖς τοῖς γάμοις ὁ μὲν Ἄτταλος, νῦν μέντοι γνήσιοι, ἔφη, καὶ οὐ νόθοι βασιλεῖς γεννηθήσονται. καὶ ὁ Ἀλέξανδρος ἀκούσας ἔβαλεν ᾗ μετὰ χεῖρας εἶχε κύλικι
e τὸν Ἄτταλον, ἔπειτα κἀκεῖνος αὐτὸν τῷ ποτηρίῳ. καὶ μετὰ ταῦτα Ὀλυμπιὰς μὲν εἰς Μολοττοὺς ἔφυγεν, Ἀλέξανδρος δ' εἰς Ἰλλυριούς. καὶ ἡ Κλεοπάτρα δὲ ἐγέννησε τῷ Φιλίππῳ θυγατέρα τὴν κληθεῖσαν Εὐρώπην.' φιλογύνης δ' ἦν καὶ Εὐριπίδης ὁ ποιητής. Ἱερώνυμος γοῦν ἐν ἱστορικοῖς ὑπομνήμασι φησὶν οὕτως 'εἰπόντος Σοφοκλεῖ τινὸς ὅτι μισογύνης ἐστὶν Εὐριπίδης, ἔν γε ταῖς τραγῳδίαις, ἔφη ὁ Σοφοκλῆς, ἐπεὶ ἔν γε τῇ κλίνῃ φιλογύνης.

6. αἱ δὲ γαμεταὶ ἡμῶν γυναῖκες οὐκ εἰσὶ τοιαῦται
f οἵας Εὔβουλός φησιν ἐν Στεφανοπώλισι

μὰ Δί' οὐχὶ περιπεπλασμέναι ψιμυθίοις,
οὐδ' ὥσπερ ὑμεῖς συκαμίνῳ τὰς γνάθους
κεχριμέναι. κἂν ἐξίητε τοῦ θέρους,
ἀπὸ τῶν μὲν ὀφθαλμῶν ὑδρορρόαι δύο
ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων ἱδρὼς
ἐπὶ τὸν τράχηλον ἄλοκα μιλτώδη ποιεῖ,
ἐπὶ τῷ προσώπῳ δ' αἱ τρίχες φορούμεναι
558 εἴξασι πολιαῖς ἀνάπλεῳ ψιμυθίου.

Ἀναξίλας δὲ ἐν Νεοττίδι φησίν

ὅστις ἀνθρώπων ἑταίραν ἠγάπησε πώποτε,

οὐδὲν ἂν γένος δύναιτο παρανομώτερον φράσαι.
τίς γὰρ ἢ δράκαιν᾽ ἄμικτος, ἢ χίμαιρα πυρπνόος,
ἢ χάρυβδις, ἢ τρίκρανος σκύλλα, ποντία κύων,
σφίγξ, ὕδρα, λέαιν᾽, ἔχιδνα, πτηνά ϑ᾽ ἁρπυιῶν γένη,
εἰς ὑπερβολὴν ἀφῖκται τοῦ καταπτύστου γένους;
οὐδ᾽ ἔν ἐσϑ᾽· αὗται δ᾽ ἁπάντων ὑπερέχουσι τῶν κακῶν. b
ἔστι δὲ σκοπεῖν ἀπ᾽ ἀρχῆς πρῶτα μὲν τὴν Πλαγγόνα,
ἥτις ὥσπερ ἡ χίμαιρα πυρπολεῖ τοὺς βαρβάρους.
εἷς μόνος δ᾽ ἱππεύς τις αὐτῆς τὸν βίον παρείλετο·
πάντα τὰ σκεύη γὰρ ἕλκων ᾤχετ᾽ ἐκ τῆς οἰκίας.
οἱ Σινώπῃ δ᾽ αὖ συνόντες οὐχ ὕδρᾳ σύνεισι νῦν;
γραῦς μὲν αὕτη, παραπέφυκε δ᾽ ἡ Γνάϑαινα· πλησίον
ὡς τὰ πολλά γ᾽ εἰσὶ ταύτης. ἔστι διπλάσιον κακόν.
ἡ δὲ Νάννιον τί νυνὶ διαφέρειν σκύλλης δοκεῖ; c
οὐ δύ᾽ ἀποπνίξασ᾽ ἑταίρους τὸν τρίτον ϑηρεύεται
ἔτι λαβεῖν; ἀλλ᾽ ἐξέπαισε πορϑμὶς ἐλατίνῳ πλάτῃ.
ἡ δὲ Φρύνη τὴν χάρυβδιν οὐχὶ πόρρω που ποιεῖ,
τόν τε ναύκληρον λαβοῦσα καταπέπωκ᾽ αὐτῷ σκάφει;
ἡ Θεανὼ δ᾽ οὐχὶ σειρήν ἐστιν ἀποτετιλμένη;
βλέμμα καὶ φωνὴ γυναικός, τὰ σκέλη δὲ κοψίχου.
σφίγγα ϑηβαίαν δὲ πάσας ἔστι τὰς πόρνας καλεῖν. d
αἳ λαλοῦσ᾽ ἁπλῶς μὲν οὐδὲν ἀλλ᾽ ἐν αἰνιγμοῖς τισιν,
ὡς ἐρῶσι καὶ φιλοῦσι καὶ σύνεισιν ἡδέως.

εἶτα τετράπους μοι γένοιτο, φησίν, ᾗ 'ν προσῇ θρόνος·
εἶτα δὴ τρίπους τις, εἶτα, φησί, παιδίσκη δίπους.
εἶθ' ὃ μὲν γνοὺς ταῦτ' ἀπῆλθεν εὐθὺς ὥσπερ Οἰδίπους,
e οὐδ' ἰδεῖν δόξας ἐκείνην, σώζεται δ' ἄκων μόνος.
οἱ δ' ἐρᾶσθαι προσδοκῶντες εὐθύς εἰσιν ἠρμένοι,
καὶ φέρονθ' ὑψοῦ πρὸς αἴθραν. συντεμόντι δ' οὐδὲ ἓν
ἔσθ' ἑταίρας ὅσα περ ἔστι θηρί' ἐξωλέστερον.

7. τοιαῦτα πολλὰ τοῦ Λαρηνσίου λέγοντος ὁ Λεωνίδης ψέγων τὸ τῆς γαμετῆς ὄνομα τὰ ἐκ τῶν Μάντεων Ἀλέξιδος προηνέγκατο ταυτὶ τῶν ἐπῶν

ὦ δυστυχεῖς ἡμεῖς ἄρ', οἳ πεπρακότες
τὴν τοῦ βίου παρρησίαν καὶ τὴν τρυφὴν
f γυναιξὶ δοῦλοι ζῶμεν ἀντ' ἐλευθέρων.
ἔπειτ' ἔχειν προῖκ' οὐχὶ τιμὴν πάσχομεν;
πικράν γε καὶ μεστὴν γυναικείας χολῆς.
ἡ τῶν γὰρ ἀνδρῶν ἐστὶ πρὸς ἐκείνην μέλι·
οἳ μέν γε συγγνώμην ἔχουσ' ἀδικούμενοι,
αὗται δ' ἀδικοῦσαι καὶ προσεγκαλοῦσ' ἔτι·
ὧν οὐκ ἐχρῆν ἄρχουσιν, ὧν δ' ἄρχειν ἐχρῆν
ἀμελοῦσιν, ἐπιορκοῦσιν, οὐδὲ ἓν κακὸν
ἔχουσι καὶ κάμνειν λέγουσ' ἑκάστοτε.

559 Ξέναρχος δ' ἐν Ὕπνῳ φησίν

εἶτ' εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες,
ὧν ταῖς γυναιξὶν οὐδ' ὁτιοῦν φωνῆς ἔνι;

Φιλέταιρος Κορινθιαστῇ

ὡς τακερόν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ' ἔχει.
οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ' οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Ἄμφις δ' ἐν Ἀθάμαντι

*εἶτ' οὐ γυναικός ἐστιν εὐνοϊκώτερον*
*γαμετῆς ἑταίρα; πολύ γε καὶ μάλ' εἰκότως.*
*ἡ μὲν νόμῳ γὰρ καταφρονοῦσ' ἔνδον μένει,* b
*ἣ δ' οἶδεν ὅτι ἢ τοῖς τρόποις ὠνητέος*
*ἄνθρωπός ἐστιν ἢ πρὸς ἄλλον ἀπιτέον.*

8. *Εὔβουλος δ' ἐν Χρυσίλλᾳ*

*κακὸς*
*κακῶς ἀπόλοιθ' ὅστις γυναῖκα δεύτερος*
*ἔγημε. τὸν γὰρ πρῶτον οὐκ ἐρῶ κακῶς.*
*ὃ μὲν γὰρ ἦν ἄπειρος, οἶμαι, τοῦ κακοῦ,*
*ὃ δ' οἷον ἦν γυνὴ κακὸν πεπυσμένος.*

*καὶ προελθών φησιν*

*ὦ Ζεῦ πολυτίμητ', εἶτ' ἐγὼ κακῶς ποτὲ*
*ἐρῶ γυναῖκας; νὴ Δί', ἀπολοίμην ἄρα,* c
*πάντων ἄριστον κτημάτων. εἰ δ' ἐγένετο*
*κακὴ γυνὴ Μήδεια, Πηνελόπη δέ γε*
*μέγα πρᾶγμ'. ἐρεῖ τις ὡς Κλυταιμνήστρα κακή,*
*Ἄλκηστιν ἀντέθηκα χρηστήν. ἀλλ' ἴσως*
*Φαίδραν ἐρεῖ κακῶς τις· ἀλλὰ νὴ Δία*
*χρηστὴ τίς ἦν μέντοι; τίς; οἴμοι δείλαιος.*
*ταχέως γέ μ' αἱ χρησταὶ γυναῖκες ἐπέλιπον,*
*τῶν δ' αὖ πονηρῶν ἔτι λέγειν πολλὰς ἔχω.*

*Ἀριστοφῶν δ' ἐν Καλλωνίδῃ*

*κακὸς κακῶς ἀπόλοιθ' ὁ γήμας δεύτερος* d
*θνητῶν. ὁ μὲν γὰρ πρῶτος οὐδὲν ἠδίκει·*
*οὔπω γὰρ εἰδὼς οὗτος οἷον ἦν κακὸν*
*ἐλάμβανεν γυναῖχ'· ὁ δ' ὕστερον λαβὼν*
*εἰς προὖπτον εἰδὼς αὑτὸν ἐνέβαλεν κακόν.*

*καὶ Ἀντιφάνης ἐν Φιλοπάτορι*

*γεγάμηκε δήπου. Β. τί σὺ λέγεις; ἀληθινῶς*
*γεγάμηκεν ὃν ἐγὼ ζῶντα περιπατοῦντά τε*
*κατέλιπον;*

*Μένανδρος δ' ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι*

e οὐ γαμεῖς, ἂν νοῦν ἔχῃς,
τοῦτον καταλιπὼν τὸν βίον. γεγάμηκα γὰρ
καὐτός, διὰ τοῦτό σοι παραινῶ μὴ γαμεῖν.
Β. δεδογμένον τὸ πρᾶγμ'. ἀνερρίφθω κύβος.
Α. πέραινε· σωθείης δὲ νῦν. ἀληθινὸν
εἰς πέλαγος αὐτὸν ἐμβαλεῖς γὰρ πραγμάτων,
οὐ λιβυκὸν οὐδ' αἰγαῖον . . .
οὗ τῶν τριάκοντ' οὐκ ἀπόλλυται τρία
πλοιάρια· γήμας δ' οὐδὲ εἷς σέσωσθ' ὅλως.

*ἐν δὲ Ἐμπιπραμένῃ*

ἐξώλης ἀπόλοιθ' ὅστις ποτὲ
f ὁ πρῶτος ἦν γήμας, ἔπειθ' ὁ δεύτερος,
εἶθ' ὁ τρίτος, εἶθ' ὁ τέταρτος, εἶθ' ὁ μεταγενής.

*Καρκίνος δ' ὁ τραγικὸς ἐν Σεμέλῃ, ἧς ἀρχή ‚ὦ νύκτες' φησί*

ὦ Ζεῦ, τί χρὴ γυναῖκας ἐξειπεῖν κακόν;
ἀρκοῦν ἂν εἴη κἂν γυναῖκ' εἴπῃς μόνον.

9. *οὐκ αἰσθάνονται δὲ οὐδ' οἱ παρ' ἡλικίαν νέας ἀγόμενοι γυναῖκας εἰς προὖπτον κακὸν αὑτοὺς ἐμβάλλοντες, καίτοι τοῦ Μεγαρικοῦ ποιητοῦ παραινέσαντος αὐτοῖς*

560 οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι·
οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος,
οὐδ' ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

*καὶ Θεόφιλος δὲ ἐν Νεοπτολέμῳ ἔφη*

οὐ σύμφορον νέα 'στὶ πρεσβύτῃ γυνή.
ὥσπερ γὰρ ἄκατος οὐδὲ μικρὸν πείθεται
ἑνὶ πηδαλίῳ, τὸ πεῖσμ' ἀπορρήξασα δὲ
ἐκ νυκτὸς ἕτερον λιμέν' ἔχουσ' ἐξευρέθη.

10. οὐδένα δὲ ὑμῶν ἀγνοεῖν οἴομαι, ἄνδρες φίλοι, b ὅτι καὶ οἱ μέγιστοι πόλεμοι διὰ γυναῖκας ἐγένοντο· ὁ ἰλιακὸς δι' Ἑλένην, ὁ λοιμὸς διὰ Χρυσηίδα, Ἀχιλλέως μῆνις διὰ Βρισηίδα, καὶ ὁ ἱερὸς δὲ καλούμενος δι' ἑτέραν γαμετήν, φησὶ Δοῦρις ἐν δευτέρᾳ ἱστοριῶν, Θηβαίαν γένος, ὄνομα Θεανώ, ἁρπασθεῖσαν ὑπὸ Φωκέως τινός. δεκαετὴς δὲ καὶ οὗτος γενόμενος τῷ δεκάτῳ ἔτει Φιλίππου συμμαχήσαντος πέρας ἔσχε· τότε γὰρ εἷλον οἱ Θηβαῖοι τὴν Φωκίδα. καὶ ὁ κρισαϊκὸς δὲ πόλεμος ὀνομαζόμενος, ὥς φησι Καλλισθένης ἐν τῷ περὶ c τοῦ ἱεροῦ πολέμου, ὅτε Κιρραῖοι πρὸς Φωκεῖς ἐπολέμησαν, δεκαετὴς ἦν, ἁρπασάντων Κιρραίων τὴν Πελάγοντος τοῦ Φωκέως θυγατέρα Μεγιστὼ καὶ τὰς Ἀργείων θυγατέρας ἐπανιούσας ἐκ τοῦ πυθικοῦ ἱεροῦ. δεκάτῳ δὲ ἔτει ἑάλω καὶ ἡ Κίρρα. ἀνετράπησαν δὲ καὶ ὅλοι οἶκοι διὰ γυναῖκας· ὁ Φιλίππου τοῦ Ἀλεξάνδρου πατρὸς διὰ τὸν Κλεοπάτρας γάμον, ὁ Ἡρακλέους διὰ τὴν Ἰόλης ἐπιγαμίαν τῆς Εὐρύτου θυγατρός, ὁ Θησέως διὰ τὴν Φαίδρας τῆς Μίνωος, ὁ Ἀθάμαντος d διὰ τὸν Θεμιστοῦς τῆς Ὑψέως, ὁ Ἰάσονος διὰ τὸν Γλαύκης τῆς Κρέοντος, ὁ Ἀγαμέμνονος διὰ Κασάνδραν. καὶ ἡ ἐπ' Αἴγυπτον δὲ Καμβύσου στρατεία, ὥς φησι Κτησίας, διὰ γυναῖκα ἐγένετο. ὁ γὰρ Καμβύσης πυνθανόμενος τὰς αἰγυπτίας γυναῖκας ἐν ταῖς συνουσίαις διαφέρειν τῶν ἄλλων ἔπεμψε πρὸς Ἄμασιν τὸν Αἰγυπτίων βασιλέα, μίαν αἰτῶν πρὸς γάμον τῶν θυγατέρων. ὃ δὲ τῶν μὲν ἑαυτοῦ οὐκ ἔδωκεν, ὑπονοήσας μὴ γυναικὸς ἕξειν αὐτὴν τιμὴν ἀλλὰ παλλακίδος· e ἔπεμψε δὲ τὴν Ἀπρίου θυγατέρα Νειτῆτιν. ὁ δὲ Ἀπρίας ἐκπεπτώκει τῆς Αἰγυπτίων βασιλείας διὰ τὴν γενομένην ἧτταν πρὸς Κυρηναίους καὶ ἀνῄρητο ὑπὸ Ἀμάσιδος. ἡσθεὶς οὖν ὁ Καμβύσης τῇ Νειτήτιδι καὶ

σφόδρα ἐρεθισθεὶς ἐκμανθάνει παρ᾽ αὐτῆς τὰ πάντα, καὶ δεηθείσης ἐκδικῆσαι τοῦ Ἀπρίου τὸν φόνον πείθει πολεμῆσαι Αἰγυπτίοις. Δείνων δ᾽ ἐν τοῖς Περσικοῖς
f καὶ Λυκέας ὁ Ναυκρατίτης ἐν τρίτῃ Αἰγυπτιακῶν τὴν Νειτῆτιν Κύρῳ πεμφθῆναί φασιν ὑπὸ Ἀμάσιδος· ἐξ ἧς γεννηθῆναι τὸν Καμβύσην, ὃν ἐκδικοῦντα τῇ μητρὶ ἐπ᾽ Αἴγυπτον ποιήσασθαι στρατείαν. Δοῦρις δ᾽ ὁ Σάμιος καὶ πρῶτον γενέσθαι πόλεμόν φησι δύο γυναικῶν, Ὀλυμπιάδος καὶ Εὐρυδίκης· ἐν ᾧ τὴν μὲν βακχικώτερον μετὰ τυμπάνων προελθεῖν, τὴν δ᾽ Εὐρυδίκην μακεδονικῶς καθωπλισμένην, ἀσκηθεῖσαν τὰ πολεμικὰ καὶ παρὰ Κυννάνῃ τῇ Ἰλλυρίδι.

561 11. ἐπὶ τούτοις τοῖς λόγοις ἔδοξε τοῖς παροῦσι τῶν φιλοσόφων περὶ τοῦ ἔρωτος καὶ αὐτούς τι εἰπεῖν καὶ περὶ κάλλους. καὶ ἐλέχθησαν λόγοι φιλόσοφοι πάμπολλοι· ἐν οἷς τινὲς καὶ ἐμνημόνευσαν τοῦ σκηνικοῦ φιλοσόφου Εὐριπίδου ᾀσμάτων, ὧν ἦν καὶ τάδε

παίδευμα δ᾽ Ἔρως σοφίας ἀρετῆς
πλεῖστον παρέχει,
καὶ προσομιλεῖν οὗτος ὁ δαίμων
πάντων ἥδιστος ἔφυ θνητοῖς.
καὶ γὰρ ἄλυπον τέρψιν τιν᾽ ἔχων
εἰς ἐλπίδ᾽ ἄγει. τοῖς δ᾽ ἀτελέστοις
b τῶν τοῦδε πόνων μήτε συνείην
χωρίς τ᾽ ἀγρίων ναίοιμι τρόπων.
τὸ δ᾽ ἐρᾶν προλέγω τοῖσι νέοισιν
μή ποτε φεύγειν,
χρῆσθαι δ᾽ ὀρθῶς ὅταν ἔλθῃ.

καὶ κατὰ τὸν Πίνδαρον δὲ ἄλλος τις ἔφη

εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν.

ἕτερος δέ τις προσέθηκε τῶν Εὐριπίδου τάδε

σὺ δ᾽ ὦ τύραννε θεῶν τε κἀνθρώπων Ἔρως,

ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά,
ἢ τοῖς ἐρῶσιν, ὧν σὺ δημιουργὸς εἶ
μοχθοῦσι μόχθους, εὐμενῶς συνεκπόνει. c
καὶ ταῦτα μὲν δρῶν τίμιος θεῶν ἔσει,
μὴ δρῶν δ' ὑπ' αὐτοῦ τοῦ διδάσκεσθαι φιλεῖν
ἀφαιρεθήσει χάριτας αἷς τιμῶσί σε.

12. Ποντιανὸς δὲ Ζήνωνα ἔφη τὸν Κιτιέα ὑπο-
λαμβάνειν τὸν Ἔρωτα θεὸν εἶναι φιλίας καὶ ἐλευθε-
ρίας ἔτι δὲ καὶ ὁμονοίας παρασκευαστικόν, ἄλλου δ'
οὐδενός. διὸ καὶ ἐν τῇ Πολιτείᾳ ἔφη τὸν Ἔρωτα θεὸν
εἶναι συνεργὸν ὑπάρχοντα πρὸς τὴν τῆς πόλεως σω- d
τηρίαν. ὅτι δὲ καὶ οἱ τούτου πρεσβύτεροι κατὰ φιλο-
σοφίαν σεμνόν τινα τὸν Ἔρωτα καὶ παντὸς αἰσχροῦ
κεχωρισμένον ᾔδεσαν δῆλον ἐκ τοῦ κατὰ γυμνάσια
αὐτὸν συνιδρῦσθαι Ἑρμῇ καὶ Ἡρακλεῖ, τῷ μὲν λόγου
τῷ δ' ἀλκῆς προεστῶτι, ὧν ἑνωθέντων φιλία τε καὶ
ὁμόνοια γεννᾶται, δι' ὧν ἡ καλλίστη ἐλευθερία τοῖς
ταῦτα μετιοῦσι συναύξεται. Ἀθηναῖοι δὲ τοσοῦτον
ἀπέσχον τοῦ συνουσίας τινὸς ὑπολαβεῖν προεστάναι
τὸν Ἔρωτα ὥστε τῆς Ἀκαδημείας ἐκδήλως τῇ Ἀθηνᾷ e
καθιερωμένης αὐτόθι τὸν Ἔρωτα ἱδρυσάμενοι συν-
θύουσιν αὐτῷ. Θεσπιεῖς τε τὰ ἐρωτίδια τιμῶσι, καθ-
άπερ ἀθήναια Ἀθηναῖοι καὶ ὀλύμπια Ἠλεῖοι Ῥό-
διοί τε τὰ ἁλίεια. καὶ ἐν ταῖς δημοτελέσι δὲ σπονδαῖς
ὡς ἐπίπαν ὁ Ἔρως τιμᾶται. Λακεδαιμόνιοι δὲ πρὸ
τῶν παρατάξεων Ἔρωτι προθύονται, ὡς ἐν τῇ τῶν
παραταττομένων φιλίᾳ κειμένης τῆς σωτηρίας τε καὶ
νίκης. καὶ Κρῆτες δ' ἐν ταῖς παρατάξεσι τοὺς καλλί-
στους τῶν πολιτῶν κοσμήσαντες, διὰ τούτων θύουσι f
τῷ Ἔρωτι, ὡς Σωσικράτης ἱστορεῖ. ὁ δὲ παρὰ Θη-
βαίοις ἱερὸς λόχος καλούμενος συνέστηκεν ἐξ ἐραστῶν
καὶ ἐρωμένων, τὴν τοῦ θεοῦ σεμνότητα ἐμφαίνων,

ἀσπαζομένων θάνατον ἔνδοξον ἀντ᾽ αἰσχροῦ καὶ ἐπο-
νειδίστου βίου. Σάμιοι δέ, ὥς φησιν Ἐρξίας ἐν Κολο-
562 φωνιακοῖς, γυμνάσιον ἀναθέντες τῷ Ἔρωτι τὴν διὰ
τοῦτον ἀγομένην ἑορτὴν ἐλευθέρια προσηγόρευσαν·
δι᾽ ὃν θεὸν καὶ Ἀθηναῖοι ἐλευθερίας ἔτυχον. καὶ οἱ
Πεισιστρατίδαι ἐκπεσόντες ἐπεχείρησαν διαβάλλειν
πρῶτοι τὰς περὶ τὸν θεὸν τοῦτον πράξεις.

13. τούτων λεχθέντων ὁ Πλούταρχος ἀπεμνημόνευσε τῶν ἐκ Φαίδρου Ἀλέξιδος

πορευομένῳ δ᾽ ἐκ Πειραιῶς ὑπὸ τῶν κακῶν
καὶ τῆς ἀπορίας φιλοσοφεῖν ἐπῆλθέ μοι.
b καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι
τὸν Ἔρωτα, συντομώτατον δ᾽ εἰπεῖν, ὅσοι
τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας.
ἔστιν γὰρ οὔτε θῆλυς οὔτ᾽ ἄρρην, πάλιν
οὔτε θεὸς οὔτ᾽ ἄνθρωπος, οὔτ᾽ ἀβέλτερος
οὔτ᾽ αὖθις ἔμφρων, ἀλλά που συνηγμένος
πάντοθεν, ἐν ἑνὶ τύπῳ τε πόλλ᾽ εἴδη φέρων.
ἡ τόλμα μὲν γὰρ ἀνδρός, ἡ δὲ δειλία
γυναικός, ἡ δ᾽ ἄνοια μανίας, ὁ δὲ λόγος
φρονοῦντος, ἡ σφοδρότης δὲ θηρός, ὁ δὲ πόνος
c ἀδάμαντος, ἡ φιλοτιμία δὲ δαίμονος.
καὶ ταῦτ᾽ ἐγὼ μὰ τὴν Ἀθηνᾶν καὶ θεοὺς
οὐκ οἶδ᾽ ὅ τι ἐστίν, ἀλλ᾽ ὅμως ἔχει γέ τι
τοιοῦτον, ἐγγύς τ᾽ εἰμὶ τοῦ νοήματος.

Εὔβουλος δ᾽ ἢ Ἀραρὼς ἐν Καμπυλίωνι

τίς ἦν ὁ γράψας πρῶτος ἀνθρώπων ἄρα
ἢ κηροπλαστήσας Ἔρωθ᾽ ὑπόπτερον;
ὡς οὐδὲν ᾔδει πλὴν χελιδόνας γράφειν,
ἀλλ᾽ ἦν ἄπειρος τῶν τρόπων τῶν τοῦ θεοῦ.
d ἔστιν γὰρ οὔτε κοῦφος οὔτε ῥᾴδιος
ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον,

βαρὺς δὲ κομιδῇ. πῶς ἂν οὖν ἔχοι πτερὰ
τοιοῦτο πρᾶγμα; λῆρος, εἰ κἄφησέ τις.

Ἄλεξις δ' ἐν Ἀποκοπτομένῳ

λέγεται γὰρ λόγος
ὑπὸ τῶν σοφιστῶν μὴ πέτεσθαι τὸν θεὸν
τὸν Ἔρωτα, τοὺς δ' ἐρῶντας, αἰτίαν δ' ἔχειν
ἐκεῖνον ἄλλως, ἠγνοηκότας δὲ τοὺς e
γραφεῖς ἔχοντα πτέρυγας αὐτὸν ζωγραφεῖν.

14. Θεόφραστος δ' ἐν τῷ Ἐρωτικῷ Χαιρήμονά φησι τὸν τραγικὸν λέγειν ὡς τὸν οἶνον τῶν χρωμένων τοῖς τρόποις κεράννυσθαι, οὕτως καὶ τὸν Ἔρωτα· ὃς μετριάζων μέν ἐστιν εὔχαρις, ἐπιτεινόμενος δὲ καὶ διαταράττων χαλεπώτατος. διόπερ ὁ ποιητὴς οὗτος οὐ κακῶς αὐτοῦ τὰς δυνάμεις διαιρῶν φησί 'δίδυμα γὰρ τόξα αὐτὸν ἐντείνεσθαι χαρίτων, τὸ μὲν ἐπ' εὐαίωνι τύχᾳ, τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς.' ὁ δ' αὐτὸς οὗτος f
ποιητὴς καὶ περὶ τῶν ἐρώντων ἐν τῷ ἐπιγραφομένῳ Τραυματίᾳ φησὶν οὕτως

τίς οὐχί φησι τοὺς ἐρῶντας ζῆν μόνους;
οὓς δεῖ γε πρῶτον μὲν στρατευτικωτάτους
εἶναι πονεῖν τε δυναμένους τοῖς σώμασιν
μάλιστα προσεδρεύειν τ' ἀρίστους τῷ πόθῳ,
ποιητικούς, ἰταμούς, προθύμους, εὐπόρους
ἐν τοῖς ἀπόροις βλέποντας, αἱμυλωτάτους.

Θεόφιλος δ' ἐν τῷ Φιλαύλῳ 563

τίς φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν;
ἦ πού τίς ἐστι τοὺς λόγους ἀβέλτερος.
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.
ἐγὼ μὲν οὖν καὐτὸς κιθαριστρίας ἐρῶν,
παιδὸς κόρης, οὐ νοῦν ἔχω πρὸς τῶν θεῶν,
κάλλει καλῆς, μεγέθει μεγάλης, τέχνῃ σοφῆς;

*ἦν εἰσιδεῖν ἥδιον ἢ τὸ θεωρικὸν*
b *αἰτοῦσιν ὑμῖν διανέμειν ἑκάστοτε.*

*Ἀριστοφῶν δ᾽ ἐν Πυθαγοριστῇ*

*εἶτ᾽ οὐ δικαίως ἔστ᾽ ἀπεψηφισμένος*
*ὑπὸ τῶν θεῶν τῶν δώδεκ᾽ εἰκότως Ἔρως;*
*ἐτάραττε κἀκείνους γὰρ ἐμβάλλων στάσεις,*
*ὅτ᾽ ἦν μετ᾽ αὐτῶν. ὡς δὲ λίαν ἦν θρασὺς*
*καὶ σοβαρός, ἀποκόψαντες αὐτοῦ τὰ πτερά,*
*ἵνα μὴ πέτηται πρὸς τὸν οὐρανὸν πάλιν,*
*δεῦρ᾽ αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω,*
*τὰς δὲ πτέρυγας ἃς εἶχε τῇ Νίκῃ φορεῖν*
c *ἔδοσαν, περιφανὲς σκῦλον ἀπὸ τῶν πολεμίων.*

*περὶ δὲ τοῦ ἐρᾶν Ἄμφις ἐν Διθυράμβῳ φησὶ*

*τί φῂς σύ; ταυτὶ προσδοκᾷς πείσειν ἐμέ,*
*ὡς ἔστ᾽ ἐραστής, ὅστις ὡραῖον φιλῶν*
*τρόπων ἐραστής ἐστι τὴν ὄψιν παρεὶς*
*σώφρων τ᾽ ἀληθῶς; οὔτε τοῦτο πείθομαι*
*οὔθ᾽ ὡς πένης ἄνθρωπος ἐνοχλῶν πολλάκις*
*τοῖς εὐποροῦσιν οὐ λαβεῖν τι βούλεται.*

*Ἄλεξις Ἑλένῃ*

d *ὡς ὅστις αὐτῆς τῆς ἀκμῆς τῶν σωμάτων*
*ἐρᾷ, τὸν ἄλλον δ᾽ οὐδὲ γιγνώσκει λόγον,*
*τῆς ἡδονῆς ἔστ᾽ οὐχὶ τῶν φίλων φίλος,*
*ἀδικεῖ τε τὸν Ἔρωτ᾽ ἐμφανῶς θνητὸς θεόν,*
*ἄπιστον αὐτὸν πᾶσι τοῖς ἄλλοις ποιῶν.*

15. *τούτων τῶν Ἀλέξιδος ἀπομνημονεύσας ὁ Μυρτίλος κᾆτα ἀποβλέψας εἰς τοὺς τὰ τῆς στοᾶς αἱρουμένους, τὰ Ἑρμείου τοῦ Κουριέως ἐκ τῶν ἰάμβων προειπὼν*

*ἀκούσατ᾽, ὦ στώακες, ἔμποροι λήρου,*
e *λόγων ὑποκριτῆρες, οἳ μόνοι πάντα*
*τὰν τοῖς πίναξι πρίν τι τῷ σοφῷ δοῦναι*

αὐτοὶ καταρροφεῖτε, κᾆθ᾽ ἁλίσκεσθε
ἐναντία πράσσοντες οἷς τραγῳδεῖτε,

παιδοπῖπαι ὄντες καὶ τοῦτο μόνον ἐξηλωκότες τὸν ἀρχηγὸν ὑμῶν τῆς σοφίας Ζήνωνα τὸν Φοίνικα, ὃς οὐδέποτε γυναικὶ ἐχρήσατο παιδικοῖς δ᾽ ἀεί, ὡς Ἀντίγονος ὁ Καρύστιος ἱστορεῖ ἐν τῷ περὶ τοῦ βίου αὐτοῦ. θρυλεῖτε γὰρ ὅτι δεῖ μὴ τῶν σωμάτων ἀλλὰ τῆς ψυχῆς ἐρᾶν, οἵ μέχρι ὀκτὼ καὶ εἴκοσιν ἐτῶν δεῖν λέ- f
γοντες συνέχειν τοὺς ἐρωμένους. καί μοι δοκεῖ Ἀρίστων ὁ Κεῖος ὁ περιπατητικὸς οὐ κακῶς εἰρηκέναι ἐν τῷ δευτέρῳ περὶ τῶν ἐρωτικῶν Ὁμοίων πρός τινα Ἀττικόν, μέγαν τινὰ κατὰ τὴν ἡλικίαν ἐπιδεικνύντα ὡς καλὸν ᾧ Δῶρος ἦν ὄνομα, τὴν πρὸς Δόλωνά μοι, φησί, δοκῶ παρ᾽ Ὀδυσσέως ἀπάντησιν ἐπί σε μεταφέρειν

ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός.

16. Ἡγήσανδρος δ᾽ ἐν τοῖς ὑπομνήμασι τῶν 564
ἡδυσμάτων φησὶν ἐρᾶν πάντας, οὐ τῶν κρεῶν οὐδὲ τῶν ἰχθύων· ἀπογενομένων γοῦν τούτων οὐδεὶς ἡδέως ἔτι προσφέρεται τὸ κρέας οὐδὲ τὸν ἰχθύν, οὐδὲ ἐπιθυμεῖ τῶν ὠμῶν καὶ τῶν ἀνηδύντων. καὶ γὰρ τὸ παλαιὸν παίδων ἤρων, ὡς καὶ Ἀρίστων ἔφη, ὅθεν καὶ καλεῖσθαι τοὺς ἐρωμένους συνέβη παιδικά. πρὸς ἀλήθειαν γάρ, καθάπερ φησὶ Κλέαρχος ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν Λυκοφρονίδην εἰρηκέναι [φησίν]

οὔτε παιδὸς ἄρσενος οὔτε παρθένων b
τῶν χρυσοφόρων οὔτε γυναικῶν βαθυκόλπων
καλὸν τὸ πρόσωπον, ἢν μὴ κόσμιον πεφύκῃ.
ἡ γὰρ αἰδὼς ἄνθος ἐπισπείρει.

καὶ ὁ Ἀριστοτέλης δὲ ἔφη τοὺς ἐραστὰς εἰς οὐδὲν ἄλλο τοῦ σώματος τῶν ἐρωμένων ἀποβλέπειν ἢ τοὺς ὀφθαλμούς, ἐν οἷς τὴν αἰδῶ κατοικεῖν. Σοφοκλῆς δέ που

περὶ τοῦ κάλλους τοῦ Πέλοπος διαλεγομένην ποιήσας τὴν Ἱπποδάμειάν φησι

τοιάνδ᾽ ἐν ὄψει λίγγα θηρατηρίαν
c ἔρωτος, ἀστραπήν τιν᾽ ὀμμάτων ἔχει·
ἐκθάλπεται μὲν αὐτός, ἐξοπτᾷ δ᾽ ἐμέ,
ἴσον μετρῶν ὀφθαλμόν, ὥστε τέκτονος
παρὰ στάθμην ἰόντος ὀρθοῦται κανών.

17. *Λικύμνιος* δ᾽ ὁ Χῖος τὸν Ὕπνον φήσας ἐρᾶν τοῦ Ἐνδυμίωνος, οὐδὲ καθεύδοντος αὐτοῦ κατακαλύπτει τοὺς ὀφθαλμούς, ἀλλ᾽ ἀναπεπταμένων τῶν βλεφάρων κοιμίζει τὸν ἐρώμενον, ὅπως διὰ παντὸς ἀπολαύῃ τῆς τοῦ θεωρεῖν ἡδονῆς. λέγει δ᾽ οὕτως

d ὕπνος δὲ χαίρων
ὀμμάτων αὐγαῖς ἀναπεπταμένοις ὄσσοισιν ἐκοίμισε κοῦρον.

καὶ ἡ *Σαπφὼ* δὲ πρὸς τὸν ὑπερβαλλόντως θαυμαζόμενον τὴν μορφὴν καὶ καλὸν εἶναι νομιζόμενόν φησι

στᾶθι κάταντα φίλος
καὶ τὰν ἐπ᾽ ὄσσοις ἀμπέτασον χάριν.

ὁ δ᾽ *Ἀνακρέων* τί φησίν;

ὦ παῖ παρθένιον βλέπων,
δίζημαί σε, σὺ δ᾽ οὐ κλύεις
οὐκ εἰδὼς ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις.

ὁ δὲ μεγαλοφωνότατος *Πίνδαρος*

e τὰς δὲ Θεοξένου (φησὶν) ἀκτῖνας ὄσσων μαρμαριζοίσας δρακεὶς
ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος
ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν.

ὁ δὲ τοῦ *Κυθηρίου Φιλοξένου* Κύκλωψ, ἐρῶν τῆς Γαλατείας καὶ ἐπαινῶν αὐτῆς τὸ κάλλος, προμαντευό-

μενος τὴν τύφλωσιν, πάντα μᾶλλον αὐτῆς ἐπαινεῖ ἢ τῶν ὀφθαλμῶν μνημονεύει λέγων ὧδε

ὦ καλλιπρόσωπε
χρυσεοβόστρυχε Γαλάτεια,
χαριτόφωνε, κάλλος ἐρώτων.

τυφλὸς ὁ ἔπαινος καὶ κατ᾽ οὐδὲν ὅμοιος τῷ Ἰβυ- f κείῳ ἐκείνῳ

Εὐρύαλε, γλαυκέων Χαρίτων θάλος,
καλλικόμων [Μουσῶν] μελέδημα, σὲ μὲν Κύπρις
ἅ τ᾽ ἀγανοβλέφαρος Πειθὼ ῥοδέοισιν ἐν ἄνθεσι θρέψαν.

Φρύνιχός τε ἐπὶ τοῦ Τρωίλου ἔφη

λάμπειν ἐπὶ πορφυρέαις παρῇσι φῶς ἔρωτος.

18. ὑμεῖς δὲ ξυρομένους τὰ γένεια περιφέρετε τοὺς ἐρωμένους, τοῦ ξύρεσθαι τὸν πώγωνα κατ᾽ Ἀλέξανδρον εὑρημένου, ὥς φησιν ὑμῶν ὁ Χρύσιππος 565 ἐν τῷ τετάρτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς. οὐκ ἀκαίρως δέ, ὡς ἐμαυτὸν πείθω, μεμνήσομαι τῆς λέξεως· χαίρω γὰρ πάνυ τῷ ἀνδρὶ διά τε τὴν πολυμαθίαν καὶ τὴν τοῦ ἤθους ἐπιείκειαν. λέγει δὲ οὕτως ὁ φιλόσοφος 'τὸ ξύρεσθαι τὸν πώγωνα κατ᾽ Ἀλέξανδρον προῆκται, τῶν προτέρων οὐ χρωμένων αὐτῷ. καὶ γὰρ Τιμόθεος ὁ αὐλητὴς πώγωνα μέγαν ἔχων ηὔλει, καὶ ἐν Ἀθήναις διατηροῦσιν οὐ σφόδρα ἀρχαῖον τὸν πρῶτον προσκειράμενον παρωνύμιον ἔχειν Κόρσην. διὸ καὶ Ἄλεξις b ἔφη που

ἂν πιττοκοπούμενόν τιν᾽ ἢ ξυρούμενον
ὁρᾷς, δυοῖν τούτων ἔχειν δεῖ θάτερον·
ἢ γὰρ στρατεύειν ἐπινοεῖν μοι φαίνεται
καὶ πάντα τῷ πώγωνι δρᾶν ἐναντία,
ἢ πλουσιακὸν τούτῳ τι προσπίπτει κακόν.
τί γὰρ αἱ τρίχες λυποῦσιν ἡμᾶς, πρὸς θεῶν,

δι᾽ ἃς ἀνὴρ ἕκαστος ἡμῶν φαίνεται,
c εἰ μή τι ταύταις ἀντιπράττεσθ᾽ ὑπονοεῖς;

Διογένης δὲ ἰδών τινα οὕτως ἔχοντα τὸ γένειον ἔφησε,
μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σ᾽ ἐποίησε
καὶ οὐ γυναῖκα; ἕτερον δέ τινα ἐπὶ ἵππου ἰδὼν παρα-
πλησίως ἔχοντα καὶ μεμυρισμένον καὶ τούτοις ἀκο-
λούθως ἠμφιεσμένον, πρότερον μὲν ἔφησε ζητεῖν τί
ἐστιν ὁ ἱππόπορνος, νῦν δὲ εὑρηκέναι. ἐν Ῥόδῳ δὲ
νόμου ὄντος μὴ ξύρεσθαι οὐδὲ ὁ ἐπιληψόμενος οὐδείς
d ἐστι διὰ τὸ πάντας ξύρεσθαι. ἐν Βυζαντίῳ δὲ ζημίας
ἐπικειμένης τῷ ἔχοντι κουρεῖ ξυρὸν οὐδὲν ἧττον
πάντες χρῶνται αὐτῷ᾽. καὶ ταῦτα μὲν ὁ θαυμάσιος
εἴρηκε Χρύσιππος.

19. ὁ δὲ σοφὸς ἐκεῖνος Ζήνων, ὥς φησιν Ἀντί-
γονος ὁ Καρύστιος, προμαντευόμενος ὑμῶν, ὡς τὸ
εἰκός, περὶ τοῦ βίου καὶ τῆς προσποιητοῦ ἐπιτηδεύ-
σεως ἔφη ὡς οἱ παρακούσαντες αὐτοῦ τῶν λόγων καὶ
μὴ συνέντες ἔσονται ῥυπαροὶ καὶ ἀνελεύθεροι, κα-
θάπερ οἱ τῆς Ἀριστίππου παρενεχθέντες αἱρέσεως
ἄσωτοι καὶ θρασεῖς. καὶ δὴ τοιοῦτοι ὑμῶν εἰσὶν οἱ
e πλεῖστοι, συνεσπασμένοι καὶ κακοπινεῖς οὐ μόνον τοῖς
ἤθεσιν ἀλλὰ καὶ ἕξει. βουλόμενοι γὰρ ἐνδύεσθαι τὴν
αὐτάρκειαν καὶ τὴν εὐτέλειαν εὑρίσκεσθε ἐπὶ ταῖς τῆς
φιλαργυρίας θύραις ῥυπαρῶς ζῶντες καὶ τριβωνάρια
περιβαλλόμενοι μικρὰ καὶ τῶν ἥλων ἐμπιμπλάντες τὰ
καττύματα καὶ κιναίδους καλοῦντες τοὺς ἢ μύρου
προσβάλλοντας ἢ μικρῷ μαλακωτέραν ἠμφιεσμένους
ἐσθῆτα. οὐ δεῖ οὖν οὕτως ἐσταλμένους περὶ ἀργύριον
f ἐπτοῆσθαι καὶ ἐρωμένους περιάγεσθαι ξυρουμένους
τὴν ὑπήνην καὶ τὸν ὄρρον, τοὺς ἀκολουθοῦντας ἐν τῷ
Λυκείῳ μετὰ σοφιστῶν νὴ Δία λεπτῶν ἀσίτων συκίνων,
κατὰ τὸν Ἀντιφάνην.

20. ἐπαινῶ δὲ καὶ αὐτὸς τὸ κάλλος. καὶ γὰρ ἐν ταῖς εὐανδρίαις τοὺς καλλίστους ἐγκρίνουσι καὶ τούτους κροκωτοφορεῖν ἐπιτρέπουσιν. ἐν Ἤλιδι δὲ καὶ κρίσις γίνεται κάλλους, καὶ τῷ πρώτῳ τὰ τῆς θεοῦ φέρειν τεύχη δίδοται, τῷ δὲ δευτέρῳ τὸν βοῦν ἄγειν, 566 ὁ δὲ τρίτος τὰς θυηλὰς ἐπιτίθησιν. Ἡρακλείδης δὲ ὁ Λέμβος ἱστορεῖ ὅτι κατὰ τὴν Σπάρτην θαυμάζεται μᾶλλον ὁ κάλλιστος καὶ γυνὴ ἡ καλλίστη, καλλίστας γεννώσης τῆς Σπάρτης τὰς γυναῖκας. διὸ καὶ φασὶν Ἀρχιδάμου τοῦ βασιλέως, γυναικὸς αὐτῷ καλῆς φαινομένης, ἑτέρας δὲ αἰσχρᾶς καὶ πλουσίας, ὡς ἀπέκλινεν ἐπὶ τὴν πλουσίαν, ζημιῶσαι τοὺς ἐφόρους αὐτόν, ἐπιλέγοντας ὅτι βασιλίσκους ἀντὶ βασιλέων τᾷ Σπάρτᾳ b γεννᾶν προαιρεῖται. Εὐριπίδης τε ἔφη

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.

καὶ οἱ παρ' Ὁμήρῳ δὲ δημογέροντες θαυμάζοντες τῆς Ἑλένης τὸ κάλλος φασίν

οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν.

ἐκπέπληκται γοῦν καὶ αὐτὸς ὁ Πρίαμος ἐπὶ τῷ κάλλει τῆς γυναικός, καίτοι ἐν δεινοῖς ὑπάρχων. θαυμάζει c γοῦν ἐπὶ κάλλει τὸν Ἀγαμέμνονα τοιαῦτ' ἐκφωνῶν

καλὸν δ' οὔτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσιν,
οὐδ' οὕτω γεραρόν· βασιλῆι δὲ ἀνδρὶ ἔοικεν.

καθίστων δὲ καὶ πολλοὶ τοὺς καλλίστους βασιλέας, ὡς μέχρι νῦν οἱ ἀθάνατοι καλούμενοι Αἰθίοπες, ὥς φησι Βίων ἐν Αἰθιοπικοῖς. ὡς ἔοικε γάρ, τὸ κάλλος βασιλείας οἰκεῖόν ἐστι. θεαὶ περὶ κάλλους ἤρισαν πρὸς ἀλλήλας, καὶ διὰ κάλλος οἱ θεοὶ ἀνηρείψαντο Διὶ οἰνο- d χόον τὸν Γανυμήδη

κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.

αἱ θεαὶ δὲ τίνας ἁρπάζουσιν; οὐ τοὺς καλλίστους; οἷς
καὶ σύνεισιν, Ἠὼς μὲν Κεφάλῳ καὶ Κλείτῳ καὶ Τι-
θωνῷ, Δημήτηρ Ἰασίωνι, Ἀφροδίτη Ἀγχίσῃ καὶ Ἀδώ-
νιδι. διὰ κάλλος δὲ καὶ ὁ μέγιστος τῶν θεῶν διὰ κε-
ράμων χρυσὸς ἔρχεται, ταῦρος γίνεται, ἀετὸς πτεροῦ-
ται πολλάκις, ὥσπερ καὶ ἐπ' Αἰγίνῃ. Σωκράτης δ' ὁ
e φιλόσοφος ὁ τῶν πάντων καταφρονῶν τοῦ Ἀλκιβιάδου
κάλλους οὐχ ἥττων ἐστίν; ὡς καὶ ὁ σεμνότατος Ἀριστο-
τέλης τοῦ Φασηλίτου μαθητοῦ. ἡμεῖς δὲ οὐχὶ καὶ τῶν
ἀψύχων τὰ κάλλιστα προκρίνομεν; ἐπαινοῦντες τῶν
Σπαρτιατῶν τὸ ἔθος τὸ γυμνοῦν τὰς παρθένους τοῖς
ξένοις. ἐν Χίῳ δὲ τῇ νήσῳ καὶ βαδίζειν ἥδιστόν ἐστιν
ἐπὶ τὰ γυμνάσια καὶ τοὺς δρόμους καὶ ὁρᾶν προσπα-
λαίοντας τοὺς νέους ταῖς κόραις.

21. καὶ ὁ Κύνουλκος, ταυτὶ καὶ τολμᾷς σὺ λέ-
γειν, οὐ ῥοδοδάκτυλος οὖσα, κατὰ τὸν Κρατῖνον, ἀλλὰ
βολίτινον ἔχων θάτερον σκέλος, ἐκείνου τοῦ ὁμωνύμου
f σοι ποιητοῦ τὴν κνήμην φορῶν, ὃς ἐν τοῖς καπηλείοις
καὶ τοῖς πανδοκείοις ἀεὶ διαιτᾷ, καίτοι Ἰσοκράτους τοῦ
ῥήτορος ἐν τῷ Ἀρεοπαγιτικῷ εἰρηκότος 'ἐν καπηλείῳ
δὲ φαγεῖν ἢ πιεῖν οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς
ἐτόλμησε. σεμνύνεσθαι γὰρ ἐμελέτων, οὐ βωμολο-
χεύεσθαι.' Ὑπερείδης δ' ἐν τῷ κατὰ Πατροκλέους, εἰ
γνήσιος ὁ λόγος, τοὺς ἀρεοπαγίτας φησὶν ἀριστήσαντά
τινα ἐν καπηλείῳ κωλῦσαι ἀνιέναι εἰς Ἄρειον πάγον.
567 σὺ δέ, ὦ σοφιστά, ἐν τοῖς καπηλείοις συναναφύρῃ οὐ
μεθ' ἑταίρων ἀλλὰ μεθ' ἑταιρῶν, μαστροπευούσας
περὶ σαυτὸν οὐκ ὀλίγας ἔχων, καὶ περιφέρων ἀεὶ τοι-
αυτὶ βιβλία Ἀριστοφάνους καὶ Ἀπολλοδώρου καὶ Ἀμ-
μωνίου καὶ Ἀντιφάνους ἔτι δὲ Γοργίου τοῦ Ἀθηναίου,
πάντων τούτων συγγεγραφότων περὶ τῶν Ἀθήνησιν
ἑταιρίδων. ὢ τῆς καλῆς σου πολυμαθίας, ὡς κατ' οὐ-

δὲν ἐμιμήσω Θεόμανδρον τὸν Κυρηναῖον, ὅν φησι Θεόφραστος ἐν τῷ περὶ εὐδαιμονίας περιιόντα ἐπαγγέλλεσθαι διδάσκειν εὐτυχίαν. ἐρωτοδιδάσκαλε, οὐδὲν ἄρα διαφέρεις Ἀμάσιος τοῦ Ἠλείου, ὃν Θεόφρα- b
στος ἐν τῷ Ἐρωτικῷ περὶ τοὺς ἔρωτας δεινὸν γεγονέναι λέγει. οὐκ ἂν ἁμάρτοι δέ τίς σε καὶ πορνογράφον καλῶν, ὡς Ἀριστείδην καὶ Πανσανίαν ἔτι τε Νικοφάνη τοὺς ζωγράφους. μνημονεύει δὲ αὐτῶν ὡς ταῦτα καλῶς γραφόντων Πολέμων ἐν τῷ περὶ τῶν ἐν Σικυῶνι πινάκων. ὢ τῆς καλῆς πολυμαθίας, ἄνδρες φίλοι, τῆς τοῦ γραμματικοῦ τοῦδε, ὃς οὐδ᾽ ἐγκαλύπτεται, ἀλλ᾽ ἀναφανδὸν τὰ Εὐβούλου ἀεὶ ἐκ Κερκώπων λέγει

Κόρινθον ἦλθον. ἡδέως ἐνταῦθά πως c
λάχανόν τι τρώγων ὤκιμον διεφθάρην·
κἀνταῦθα κατελήρησα τὴν ἐξωμίδα.

καλός γε ὁ τῶν Κορινθίων σοφιστής, ὁ τοῖς μαθηταῖς διηγούμενος ὅτι Ὤκιμον ἑταίρας ὄνομα. καὶ ἄλλα δὲ πολλὰ ὦ ᾽ναιδὲς δράματα ἀπὸ ἑταιρῶν ἔσχε τὰς ἐπιγραφάς, Θάλαττα Διοκλέους, Φερεκράτους Κοριαννώ, Εὐνίκου ἢ Φιλυλλίου Ἄντεια, Μενάνδρου δὲ Θαὶς καὶ Φάνιον, Ἀλέξιδος Ὀπώρα, Εὐβούλου Κλεψύδρα. d
οὕτω δ᾽ ἐκλήθη αὕτη ἡ ἑταίρα, ἐπειδὴ πρὸς κλεψύδραν συνουσίαζεν, ἕως κενωθῇ, ὡς Ἀσκληπιάδης εἴρηκεν ὁ τοῦ Ἀρείου ἐν τῷ περὶ Δημητρίου τοῦ Φαληρέως συγγράμματι, τὸ κύριον αὐτῆς ὄνομα φάσκων εἶναι Μητίχην.

22. ἔστιν δ᾽ ἑταίρα,
ὡς Ἀντιφάνης φησὶν ἐν Ἀγροίκῳ,

τῷ τρέφοντι συμφορά·
εὐφραίνεται γὰρ κακὸν ἔχων οἴκοι μέγα.

διὸ καὶ θρηνῶν τις αὐτὸν παράγεται ὑπὸ Τιμοκλέους

e ἐν Νεαίρᾳ

ἀλλ' ἔγωγ' ὁ δυστυχὴς
Φρύνης ἐρασθεὶς ἡνίκ' ἔτι τὴν κάππαριν
συνέλεγεν οὔπω τ' εἶχεν ὅσα περ νῦν ἔχει,
πάμπολλ' ἀναλίσκων ἐφ' ἑκάστῳ τῆς θύρας
ἀπεκλειόμην.

καὶ ἐν τῷ ἐπιγραφομένῳ δ' Ὀρεσταυτοκλείδης αὐτὸς Τιμοκλῆς φησι

περὶ δὲ τὸν πανάθλιον
εὕδουσι γρᾶες, Νάννιον Πλαγγὼν Λύκα
f Γνάθαινα Φρύνη Πυθιονίκη Μυρρίνη
Χρυσὶς Κοναλλὶς Ἱερόκλεια Λοπάδιον.

τούτων τῶν ἑταιρῶν καὶ Ἄμφις μνημονεύει ἐν Κουρίδι λέγων

τυφλὸς ὁ πλοῦτος εἶναί μοι δοκεῖ,
ὅστις γε παρὰ ταύτην μὲν οὐκ εἰσέρχεται,
παρὰ δὲ Σινώπῃ καὶ Λύκᾳ καὶ Ναννίῳ
ἑτέραις τε τοιαύταισι παγίσι τοῦ βίου
ἔνδον κάθητ' ἀπόπληκτος, οὐδ' ἐξέρχεται.

568 23. Ἄλεξις δ' ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἰσοστάσιον τὴν ἑταιρικὴν παρασκευὴν καὶ τὰς δι' ἐπιτεχνήσεως κομμώσεις τῶν ἑταιρῶν οὕτως ἐκτίθεται

πρῶτα μὲν γὰρ πρὸς τὸ κέρδος καὶ τὸ συλᾶν τοὺς πέλας
πάντα τἄλλ' αὐταῖς πάρεργα γίγνεται· ῥάπτουσι δὲ
πᾶσιν ἐπιβουλάς. ἐπειδὰν δ' εὐπορήσωσίν ποτε,
ἀνέλαβον καινὰς ἑταίρας, πρωτοπείρους τῆς τέχνης.
εὐθὺς ἀναπλάττουσι ταύτας, ὥστε μήτε τοὺς τρόπους
μήτε τὰς ὄψεις ὁμοίας διατελεῖν οὔσας ἔτι.
b τυγχάνει μικρά τις οὖσα, φελλὸς ἐν ταῖς βαυκίσιν

ἐγκεκάττυται. μακρά τις, διάβαθρον λεπτὸν φορεῖ
τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ' ἐξέρχεται·
τοῦτο τοῦ μήκους ἀφεῖλεν. οὐκ ἔχει τις ἰσχία,
ὑπενέδυσ' ἐρραμμέν' αὐτήν, ὥστε τὴν εὐπυγίαν
ἀναβοᾶν τοὺς εἰσιδόντας. κοιλίαν ἁδρὰν ἔχει,
τιτθί' ἔστ' αὐταῖσι τούτων ὧν ἔχουσ' οἱ κωμικοί·
ὀρθὰ προστιθεῖσα ταῦτα τοὔνδυτον τῆς κοιλίας
ὡσπερεὶ κοντοῖσι τούτοις εἰς τὸ πρόσθ' ἀπήγαγεν. c
τὰς ὀφρῦς πυρρὰς ἔχει τις, ζωγραφοῦσιν ἀσβόλῳ.
συμβέβηκ' εἶναι μέλαιναν, κατέπλασε ψιμυθίῳ.
λευκόχρως λίαν τίς ἐστι, παιδέρωτ' ἐντρίβεται.
καλὸν ἔχει τοῦ σώματός τι, τοῦτο γυμνὸν δείκνυται.
εὐφυεῖς ὀδόντας ἔσχεν, ἐξ ἀνάγκης δεῖ γελᾶν,
ἵνα θεωρῶσ' οἱ παρόντες τὸ στόμ' ὡς κομψὸν φορεῖ.
ἂν δὲ μὴ χαίρῃ γελῶσα, διατελεῖ τὴν ἡμέραν d
ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ' ἑκάστοτε,
ἡνίκ' ἂν πωλῶσιν αἰγῶν κρανία, ξυλήφιον
μυρρίνης ἔχουσα λεπτὸν ὀρθὸν ἐν τοῖς χείλεσιν·
ὥστε τῷ χρόνῳ σέσηρεν, ἄν τε βούλητ' ἄν τε μή.

24. 'ὄψεις διὰ τούτων σκευοποιοῦσι τῶν τεχνῶν'.
διὸ συμβουλεύω σοι, Θετταλὲ ποικιλόδιφρε, τὰς ἐπὶ
τῶν οἰκημάτων ἀσπάζεσθαι καὶ μὴ καταναλίσκειν εἰς
οὐδὲν δέον τὰ τῶν υἱῶν κέρματα. ὄντως γὰρ ἄριστα e
χωλὸς οἰφεῖς, τοῦ κρηπιδοποιοῦ πατρός σου πολλά σε
σωφρονίσαντος καὶ διδάξαντος σκύτη βλέπειν. ἢ οὐκ
οἶσθα κατὰ τὴν Εὐβούλου Παννυχίδα

τὰς φιλῳδοὺς κερμάτων παλευτρίας,
πώλους Κύπριδος ἐξησκημένας,

γυμνὰς ἐφεξῆς ἐπὶ κέρως τεταγμένας,
ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἵας
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας·
παρ' ὧν βεβαίως ἀσφαλῶς τ' ἔξεστί σοι
f μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν.

καὶ ἐν Ναννίῳ, εἰ Εὐβούλου τὸ δρᾶμα καὶ μὴ Φιλίππου, φησίν

ὅστις λέχη γὰρ σκότια νυμφεύει λάθρᾳ,
πῶς οὐχὶ πάντων ἐστὶν ἀθλιώτατος;
ἐξὸν θεωρήσαντι πρὸς τὸν ἥλιον
γυμνὰς ἐφεξῆς ἐπὶ κέρως τεταγμένας,
ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἵας
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας,
μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν·
569 καὶ μὴ λαθραίαν κύπριν, αἰσχίστην νόσων
πασῶν, διώκειν, ὕβρεος οὐ πόθου χάριν.
Ἑλλάδος ἔγωγε τῆς ταλαιπώρου στένω,
ἣ Κυδίαν ναύαρχον ἐξεπέμψατο.

ἐπιτιμᾷ δὲ καὶ Ξέναρχος ἐν Πεντάθλῳ τοῖς παραπλησίως σοι βιοῦσι καὶ ἐσπουδακόσι περὶ τὰς μεγαλομίσθους ἑταίρας καὶ τὰς ἐλευθέρας τῶν γυναικῶν ταυτὶ λέγων

δεινὰ δεινὰ κοὐκ ἀνασχετὰ
ἐν τῇ πόλει πράττουσιν οἱ νεώτεροι,
b ὅπου παρουσῶν μειράκων μάλ' εὐπρεπῶν
ἐπὶ τοῖσι πορνείοισιν, ἃς ἔξεσθ' ὁρᾶν
εἱληθερούσας, στέρν' ἀπημφιεσμένας,
γυμνὰς ἐφεξῆς τ' ἐπὶ κέρως τεταγμένας·
ὧν ἔστιν ἐκλεξάμενον ᾗ τις ἥδεται,
λεπτῇ παχείᾳ στρογγύλῃ μακρᾷ ῥικνῇ
νέᾳ παλαιᾷ μεσοκόπῳ πεπαιτέρᾳ,
μὴ κλίμακα στησάμενον εἰσβῆναι λάθρᾳ,

μηδὲ δι' ὀπῆς κάτωθεν εἰσδῦναι στέγης,
μηδ' ἐν ἀχύροισιν εἰσενεχθῆναι τέχνῃ. c
αὗται βιάζονται γὰρ εἰσέλκουσί τε
τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι
πατρίδια, τοὺς δ' ἀπφάρια τοὺς νεωτέρους.
καὶ τῶνδ' ἑκάστην ἔστιν ἀδεῶς, εὐτελῶς,
μεθ' ἡμέραν, πρὸς ἑσπέραν, πάντας τρόπους·
ἃς δ' οὔτ' ἰδεῖν ἔστ' οὔθ' ὁρῶντ' ἰδεῖν σαφῶς,
ἀεὶ δὲ τετρεμαίνοντα καὶ φοβούμενον,
[δεδιότα ἐν τῇ χειρὶ τὴν ψυχὴν ἔχοντα],
ἃς πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
βινεῖν δύνανται, τῶν δρακοντείων νόμων d
ὁπόταν ἀναμνησθῶσι προσκινούμενοι;

25. καὶ Φιλήμων δ' ἐν Ἀδελφοῖς προϊστορῶν ὅτι πρῶτος Σόλων διὰ τὴν τῶν νέων ἀκμὴν ἔστησεν ἐπὶ οἰκημάτων γύναια πριάμενος, καθὰ καὶ Νίκανδρος ὁ Κολοφώνιος ἱστορεῖ ἐν τρίτῳ Κολοφωνιακῶν φάσκων αὐτὸν καὶ πανδήμου Ἀφροδίτης ἱερὸν πρῶτον ἱδρύσασθαι ἀφ' ὧν ἠργυρίσαντο αἱ προστᾶσαι τῶν οἰκημάτων. ἀλλ' ὅ γε Φιλήμων οὕτως φησί

σὺ δ' εἰς ἅπαντας εὗρες ἀνθρώπους, Σόλων, e
σὲ γάρ λέγουσι τοῦτ' ἰδεῖν πρῶτον βροτῶν,
δημοτικὸν ὦ Ζεῦ πρᾶγμα καὶ σωτήριον,
(κἀμοὶ λέγειν τοῦτ' ἐστὶν ἁρμοστόν, Σόλων)
μεστὴν ὁρῶντα τὴν πόλιν νεωτέρων,
τούτους τ' ἔχοντας τὴν ἀναγκαίαν φύσιν,
ἁμαρτάνοντάς τ' εἰς ὃ μὴ προσῆκον ἦν,
στῆσαι πριάμενον τότε γυναῖκας κατὰ τόπους
κοινὰς ἅπασι καὶ κατεσκευασμένας.
ἑστᾶσι γυμναί, μὴ 'ξαπατηθῇς, πάνθ' ὅρα.
οὐκ εὖ σεαυτοῦ τυγχάνεις ἔχων . . f
. . ἔχεις πως· ἡ θύρα 'στ' ἀνεῳγμένη.

εἷς ὀβολός· εἰσπήδησον· οὐκ ἔστ' οὐδὲ εἷς
ἀκκισμὸς οὐδὲ λῆρος, οὐδ' ὑφήρπασεν·
ἀλλ' εὐθὺς ὡς βούλει σὺ χὤν βούλει τρόπον.
ἐξῆλθες· οἰμώζειν λέγ', ἀλλοτρία 'στί σοι.

καὶ Ἀσπασία δὲ ἡ σωκρατικὴ ἐνεπορεύετο πλήθη καλῶν γυναικῶν, καὶ ἐπλήθυνεν ἀπὸ τῶν ταύτης ἑταιρίδων ἡ Ἑλλάς, ὡς καὶ ὁ χαρίεις Ἀριστοφάνης παρα-
570 σημαίνεται [λέγων τὸν πελοποννησιακὸν πόλεμον] ὅτι Περικλῆς διὰ τὸν Ἀσπασίας ἔρωτα καὶ τὰς ἁρπασθείσας ἀπ' αὐτῆς θεραπαίνας ὑπὸ Μεγαρέων τὸ δεινὸν ἀνερρίπισε

πόρνην δὲ Σιμαίθαν ἰόντες Μεγάραδε
νεανίαι κλέπτουσι μεθυσοκότταβοι.
κᾆθ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν Ἀσπασίας πόρνας δύο·
κἀκεῖθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
b Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.

26. τῶν οὖν μεγαλομίσθων ἑταιρῶν ἀποτρέπω σε, γραμματικώτατε, διότι

τὰς μὲν ἄλλας ἔστιν αὐλούσας ἰδεῖν
αὐλητρίδας πάσας Ἀπόλλωνος νόμον,
[Ἑρμοῦ νόμον, Πανὸς νόμον,] Διὸς νόμον·
αὗται δὲ μόνον αὐλοῦσιν Ἱέρακος νόμον,

Ἐπικράτης φησὶν ἐν Ἀντιλαίδι. ἐν ᾧ δράματι καὶ περὶ τῆς πολυθρυλήτου Λαίδος τάδε λέγει

αὕτη δὲ Λαὶς ἀργός ἐστι καὶ πότις,
τὸ καθ' ἡμέραν ὁρῶσα πίνειν κἀσθίειν
μόνον, πεπονθέναι δὲ ταὐτά μοι δοκεῖ
c τοῖς ἀετοῖς· οὗτοι γὰρ ὅταν ὦσιν νέοι,
ἐκ τῶν ὀρῶν πρόβατ' ἐσθίουσι καὶ λαγὼς
μετέωρ' ἀναρπάζοντες ἀπὸ τῆς ἰσχύος·
ὅταν δὲ γηράσκωσιν ἤδη, τότε θεῶν

ἐπὶ τοὺς νεὼς ἴξουσι πεινῶντες κακῶς·
κἄπειτα τοῦτ' εἶναι νομίζεται τέρας.
καὶ Λαὶς ὀρθῶς νῦν νομίζοιτ' ἂν τέρας.
αὕτη γὰρ οὖν, ὁπότ' ἦν νεοττὸς καὶ νέα,
ὑπὸ τῶν στατήρων ἦν ἀπηγριωμένη,
εἶδες δ' ἂν αὐτῆς Φαρνάβαζον θᾶττον ἄν·
ἐπεὶ δὲ δόλιχον τοῖς ἔτεσιν ἤδη τρέχει, d
τὰς ἁρμονίας τε διαχαλᾷ τοῦ σώματος,
ἰδεῖν μὲν αὐτὴν ῥᾴόν ἐστιν ἢ πτύσαι·
ἐξέρχεταί τε πανταχόσ' ἤδη πιομένη,
δέχεται δὲ καὶ στατῆρα καὶ τριώβολον,
προσίεται δὲ καὶ γέροντα καὶ νέον,
οὕτω δὲ τιθασὸς γέγονεν ὥστ', ὦ φίλτατε,
τἀργύριον ἐκ τῆς χειρὸς ἤδη λαμβάνει.

μνημονεύει δὲ τῆς Λαίδος καὶ Ἀναξανδρίδης ἐν Γεροντομανίᾳ καὶ ἄλλας ἑταίρας αὐτῇ συγκαταλέγει διὰ τούτων

τὴν ἐκ Κορίνθου Λαίδ' οἶσθα; Β. πῶς γὰρ οὔ; e
τὴν ἡμετέρειον. Α. ἦν ἐκείνῃ τις φίλη
Ἄντεια. Β. καὶ τοῦθ' ἡμέτερον ἦν παίγνιον.
Α. νὴ τὸν Δί' ἤνθει τότε Λαγίσκιον, τότ' ἦν
καὶ Θεολύτη μάλ' εὐπρόσωπος καὶ καλή,
ὑπέφαιν' ἐσομένη δ' Ὤκιμον λαμπρὸν πάνυ.

27. ταῦτά σοι παραινεῖν ἔχω, ἑταῖρε Μυρτίλε. καὶ κατὰ τὴν Φιλεταίρου Κυνηγίδα

παῦσαι γέρων ὢν τοὺς τρόπους. οὐκ οἶσθ' ὅτι f
ἥδιστόν ἐστιν ἀποθανεῖν βινοῦνθ' ἅμα,
ὥσπερ λέγουσιν ἀποθανεῖν Φορμίσιον;

ἢ ἥδιστόν ἐστί σοι ὡς ἐν Μαραθωνίοις φησὶ Τιμοκλῆς,

ὅσον τὸ μεταξὺ μετὰ κορίσκης ἢ μετὰ
χαμαιτύπης τὴν νύκτα κοιμᾶσθαι. βαβαί.
ἡ στιφρότης τὸ χρῶμα πνεῦμα, δαίμονες,

τό τε μὴ σφόδρ' εἶναι πάνθ' ἕτοιμα, δεῖν δέ τι
571 ἀγωνιᾶσαι καὶ ῥαπισθῆναί γε καὶ
πληγὰς λαβεῖν ἁπαλαῖσι χερσίν, ἡδύ γε
νὴ τὸν Δία τὸν μέγιστον.

ἔτι πολλὰ τοῦ Κυνούλκου θέλοντος λέγειν καὶ τοῦ Μάγνου ἐπιρραπίσαι βουληθέντος αὐτὸν εἰς τιμὴν τοῦ Μυρτίλου φθάσας ὁ Μυρτίλος, διήχθρευε γὰρ τῷ Σύρῳ, ἔφη

οὐχ ὧδ' ἐμόγησαν
ἐλπίδες, ὥστ' ἐχθρῶν συμμαχίας καλέσαι,

φησὶν ὁ Καλλίμαχος. οὐ γὰρ αὐτάρκεις ἡμεῖς ἀμύνασθαι ὦ Κύνουλκε;

ὡς σκαιὸς εἶ κἄγροικος αἰσχροεπῶν· ἔα,
b ἐπαρίστερ' ἐν τῷ στόματι τὴν γλῶτταν φορεῖς,

κατὰ τὴν Ἐφίππου Φιλύραν. δοκεῖς γάρ μοι ἐκείνων εἷς εἶναι

οὓς ἐδίδαξαν ἀριστερὰ γράμματα Μοῦσαι·

ὥς τις ἔφη τῶν παρῳδῶν.

28. ἐγὼ γάρ, ὦ ἄνδρες σύσσιτοι, οὐ κατὰ τὰς Μεταγένους Αὔρας ἢ τὸν Ἀρισταγόρου Μαμμάκυθον

ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας
ὡραίας πρότερον, νῦν δ' οὐχ ὑμῖν ἀγορεύω
ἄρτι χνοαζούσας αὐλητρίδας, αἵ τε τάχιστα
ἀνδρῶν φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν,

c ἀλλὰ περὶ τῶν ὄντως ἑταιρῶν τὸν λόγον πεποίημαι, τουτέστι τῶν φιλίαν ἄδολον συντηρεῖν δυναμένων, ἃς οὐ Κύνουλκος τολμᾷ λοιδορεῖν, μόνας τε τῶν ἄλλων γυναικῶν τῷ τῆς φιλίας ὀνόματι προσηγορευμένας, ἢ ἀπὸ τῆς παρὰ τοῖς Ἀθηναίοις καλουμένης ἑταίρας τῆς Ἀφροδίτης. περὶ ἧς φησιν ὁ Ἀθηναῖος Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν οὕτως 'ἑταίραν δὲ τὴν Ἀφροδίτην τὴν τοὺς ἑταίρους καὶ τὰς ἑταίρας συνά-

γουσαν·' τοῦτο δ' ἐστὶ φίλας. καλοῦσι γοῦν καὶ αἱ ἐλεύθεραι γυναῖκες ἔτι καὶ νῦν καὶ αἱ παρθένοι τὰς d
συνήθεις καὶ φίλας ἑταίρας, ὡς ἡ Σαπφώ

τάδε νῦν ἑταίραις
ταῖσιν ἀμαῖς τερπνὰ καλῶς ἀείσω.

καὶ ἔτι

Λατὼ καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἑταῖραι.

καλοῦσι δὲ καὶ τὰς μισθαρνούσας ἑταίρας καὶ τὸ ἐπὶ συνουσίαις μισθαρνεῖν ἑταιρεῖν, οὐκ ἔτι πρὸς τὸ ἔτυμον ἀναφέροντες ἀλλὰ πρὸς τὸ εὐσχημονέστερον, καθὸ δὴ καὶ Μένανδρος ἐν Παρακαταθήκῃ ἀπὸ τῶν ἑταιρῶν τοὺς ἑταίρους διαστέλλων φησί

πεποιήκατ' ἔργον οὐχ ἑταίρων, Παρ[μένων, e
μὰ Δί' ἀλλ' ἑταρῶν.] ταὐτὰ δ' ὄντα γράμματα
τὴν προσαγόρευσιν οὐ σφόδρ' εὔσημον ποιεῖ.

29. περὶ δὲ τῶν ἑταιρῶν Ἔφιππος ἐν Ἐμπολῇ τάδε φησίν

ἔπειτά γ' εἰσιόντ', ἐὰν λυπούμενος
τύχῃ τις ἡμῶν, ἐκολάκευσεν ἡδέως,
ἐφίλησεν, οὐχὶ συμπιέσασα τὸ στόμα
ὥσπερ πολέμιον ἀλλὰ τοῖσι στρουθίοις
χανοῦσ' ὁμοίως· ᾖσε, παρεμυθήσατο, f
ἐποίησέ θ' ἱλαρὸν εὐθέως τ' ἀφεῖλε πᾶν
αὐτοῦ τὸ λυποῦν, κἀπέδειξεν ἵλεων.

Εὔβουλος δ' ἐν Καμπυλίωνι κοσμίαν ἑταίραν παράγων φησίν

ὡς δ' ἐδείπνει κοσμίως,
οὐχ ὥσπερ ἄλλαι τῶν πράσων ποιούμεναι
τολύπας ἔσαττον τὰς γνάθους καὶ τῶν κρεῶν
ἀπέβρυκον αἰσχρῶς, ἀλλ' ἑκάστου μικρὸν ἂν 572
ἀπεγεύεθ' ὥσπερ παρθένος Μιλησία.

Ἀντιφάνης Ὑδρίᾳ

οὗτος δ᾿ ὃν λέγω
ἐκ γειτόνων αὐτῷ κατοικούσης τινὸς
ἰδὼν ἑταίρας εἰς ἔρωτ᾿ ἀφίκετο,
ἀστῆς, ἐρήμου δ᾿ ἐπιτρόπου καὶ συγγενῶν,
ἦθός τι χρυσοῦν πρὸς ἀρετὴν κεκτημένης,
ὄντως ἑταίρας. αἱ μὲν ἄλλαι τοὔνομα
βλάπτουσι τοῖς τρόποις γὰρ ὄντως ὂν καλόν.

b *Ἀναξίλας Νεοττίδι*

ἐὰν δέ τις μέτρια λέγουσα
τοῖς δεομένοις τινῶν ὑπουργῇ πρὸς χάριν,
ἐκ τῆς ἑταιρίας ἑταίρα τοὔνομα
προσηγορεύθη. καὶ σὺ νῦν οὐχ ὡς λέγεις
πόρνης, ἑταίρας δ᾿ εἰς ἔρωτα τυγχάνεις
ἐληλυθώς· ἆρ᾿ ὡς ἀληθῶς ἐστὶ γοῦν
ἁπλῆ τις; Β. ἀστεία μὲν οὖν, νὴ τὸν Δία.

30. ὁ δὲ ὑμέτερος φιλοσοφομειρακίσκος τοιοῦτος, οἷον Ἄλεξις ἢ Ἀντιφάνης ἐν Ὕπνῳ παράγει

c διὰ ταῦθ᾿ ὁ πόρνος οὗτος οὐδὲ τῶν πράσων
ἑκάστοτ᾿ ἐπιδειπνεῖ μεθ᾿ ἡμῶν· τοῦτο δ᾿ ἦν,
ἵνα μή τι λυπήσειε τὸν ἐραστὴν φιλῶν.

καλῶς δὲ περὶ τῶν τοιούτων Ἔφιππος ἐν Σαπφοῖ φησίν

ὅταν γὰρ ὢν νέος
ἀλλότριον ἐλθὼν ὄψον ἐσθίειν μάθῃ,
ἀσύμβολόν τε χεῖρα προσβάλῃ βορᾷ,
διδόναι νόμιζ᾿ αὐτὸν σὺ τῆς νυκτὸς λόγον.

τὰ αὐτὰ εἴρηκε καὶ Αἰσχίνης ὁ ῥήτωρ ἐν τῷ κατὰ Τιμάρχου.

d 31. περὶ δὲ τῶν ἑταιρῶν καὶ Φιλέταιρος ἐν Κυνηγίδι τάδε φησίν

οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ᾿ οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

οἶδα δὲ καὶ ἑορτὴν τὴν ἑταιρίδεια ἀγομένην ἐν Μα-

γνησίᾳ, οὐ διὰ τὰς ἑταίρας ἀλλὰ δι' ἑτέραν αἰτίαν, ἧς
μνημονεύει Ἡγήσανδρος ἐν ὑπομνήμασι γράφων ὧδε
'τὴν τῶν ἑταιριδείων ἑορτὴν συντελοῦσι Μάγνητες.
ἱστοροῦσι δὲ πρῶτον Ἰάσονα τὸν Αἴσονος συναγαγόντα
τοὺς Ἀργοναύτας ἑταιρείῳ Διὶ θῦσαι καὶ τὴν ἑορτὴν e
ἑταιρίδεια προσαγορεῦσαι. θύουσι δὲ καὶ οἱ Μακε-
δόνων βασιλεῖς τὰ ἑταιρίδεια.' πόρνης δὲ Ἀφροδίτης
ἱερόν ἐστι παρὰ Ἀβυδηνοῖς, ὥς φησι Πάμφιλος· κατ-
εχομένης γὰρ τῆς πόλεως δουλείᾳ τοὺς φρουροὺς
τοὺς ἐν αὐτῇ ποτὲ θύσαντας, ὡς ἱστορεῖ Κλεάνθης ἐν
τοῖς Μυθικοῖς, καὶ μεθυσθέντας ἑταίρας πλείονας
προσλαβεῖν, ὧν μίαν κατακοιμηθέντας αὐτοὺς ἰδοῦ-
σαν ἀνελομένην τὰς κλεῖς καὶ τὸ τεῖχος ὑπερβᾶσαν
ἀπαγγεῖλαι τοῖς Ἀβυδηνοῖς. τοὺς δ' αὐτίκα μεθ' f
ὅπλων ἀφικομένους ἀνελεῖν μὲν τοὺς φύλακας, κρατή-
σαντας δὲ τῶν τειχῶν καὶ γενομένους ἐγκρατεῖς τῆς
ἐλευθερίας χαριστήρια τῇ πόρνῃ ἀποδιδόντας Ἀφρο-
δίτης πόρνης ναὸν ἱδρύσασθαι. Ἄλεξις δ' ὁ Σάμιος
ἐν δευτέρῳ Ὥρων σαμιακῶν 'τὴν ἐν Σάμῳ Ἀφρο-
δίτην, ἣν οἳ μὲν ἐν καλάμοις καλοῦσιν οἳ δὲ ἐν ἕλει,
ἀττικαὶ (φησίν) ἑταῖραι ἱδρύσαντο αἱ συνακολουθή-
σασαι Περικλεῖ, ὅτε ἐπολιόρκει τὴν Σάμον, ἐργασά- 573
μεναι ἱκανῶς ἀπὸ τῆς ὥρας.' Εὐάλκης δὲ ἐν τοῖς
Ἐφεσιακοῖς καὶ ἐν Ἐφέσῳ φησὶν ἱερὰ ἱδρῦσθαι ἑταίρᾳ
Ἀφροδίτῃ. Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν 'Γύγης
(φησὶν) ὁ Λυδῶν βασιλεὺς οὐ μόνον περὶ ζῶσαν τὴν
ἐρωμένην περιβόητος γέγονεν, ἐγχειρίσας αὑτόν τε καὶ
τὴν ἀρχὴν ἐκείνῃ πᾶσαν, ἀλλὰ καὶ τελευτησάσης συν-
αγαγὼν τοὺς ἐκ τῆς χώρας δούλους πάντας ἔχωσε μὲν
Λυδίας τὸ νῦν ἔτι καλούμενον τῆς ἑταίρας μνῆμα εἰς
ὕψος ἄρας, ὥστε περιοδεύοντος αὐτοῦ τὴν ἐντὸς τοῦ
Τμώλου χώραν, οὗ ἂν ἐπιστραφεὶς τύχοι, καθορᾶν τὸ b

μνῆμα καὶ πᾶσι τοῖς τὴν Λυδίαν οἰκοῦσιν ἄποπτον εἶναι.“ Δημοσθένης δ' ὁ ῥήτωρ ἐν τῷ κατὰ Νεαίρας λόγῳ, εἰ γνήσιος, ὃν Ἀπολλόδωρος εἴρηκε, φησί „τὰς μὲν ἑταίρας ἡδονῆς ἕνεκα ἔχομεν, τὰς δὲ παλλακὰς τῆς καθ' ἡμέραν παλλακείας, τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν.“

32. καταλέξω δέ σοι, Κύνουλκε, ἰωνικήν τινα ῥῆσιν ἐκτείνας, κατὰ τὸν Αἰσχύλου [Ἀγαμέμνονα],
c περὶ ἑταιρῶν, ἀρξάμενος ἀπὸ τῆς καλῆς Κορίνθου, ἐπειδή μοι τὴν αὐτόθι σοφιστείαν ὠνείδισας. νόμιμόν ἐστιν ἀρχαῖον ἐν Κορίνθῳ, ὡς καὶ Χαμαιλέων ὁ Ἡρακλεώτης ἱστορεῖ ἐν τῷ περὶ Πινδάρου, ὅταν ἡ πόλις εὔχηται περὶ μεγάλων τῇ Ἀφροδίτῃ, συμπαραλαμβάνεσθαι πρὸς τὴν ἱκετείαν τὰς ἑταίρας ὡς πλείστας, καὶ ταύτας προσεύχεσθαι τῇ θεῷ καὶ ὕστερον ἐπὶ τοῖς ἱεροῖς παρεῖναι. καὶ ὅτε δὴ ἐπὶ τὴν Ἑλλάδα τὴν στρατείαν ἦγεν ὁ Πέρσης, ὡς καὶ Θεόπομπος ἱστορεῖ
d καὶ Τίμαιος ἐν τῇ ἑβδόμῃ, αἱ Κορίνθιαι ἑταῖραι ηὔξαντο ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας εἰς τὸν τῆς Ἀφροδίτης ἐλθοῦσαι νεών. διὸ καὶ Σιμωνίδης ἀναθέντων τῶν Κορινθίων πίνακα τῇ θεῷ τὸν ἔτι καὶ νῦν διαμένοντα καὶ τὰς ἑταίρας ἰδίᾳ γραψάντων τὰς τότε ποιησαμένας τὴν ἱκετείαν καὶ ὕστερον παρούσας συνέθηκε τόδε τοὐπίγραμμα

αἵδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἰθυμάχων πολιητᾶν
ἔσταθεν εὔχεσθαι Κύπριδι δαιμονίᾳ.
e οὐ γὰρ τοξοφόροισιν ἐμήσατο δῖ' Ἀφροδίτα
Πέρσαις Ἑλλάνων ἀκρόπολιν προδόμεν.

καὶ οἱ ἰδιῶται δὲ κατεύχονται τῇ θεῷ, τελεσθέντων περὶ ὧν ἂν ποιῶνται τὴν δέησιν, ἀπάξειν αὐτῇ τακτὰς ἑταίρας.

33. ὑπάρχοντος οὖν τοῦ τοιούτου νομίμου περὶ τὴν θεὸν Ξενοφῶν ὁ Κορίνθιος ἐξιὼν εἰς Ὀλυμπίαν ἐπὶ τὸν ἀγῶνα καὶ αὐτὸς ἀπάξειν ἑταίρας ηὔξατο τῇ θεῷ νικήσας Πίνδαρός τε τὸ μὲν πρῶτον ἔγραψεν εἰς f αὐτὸν ἐγκώμιον οὗ ἡ ἀρχὴ

τρισολυμπιονίκαν ἐπαινέων οἶκον.

ὕστερον δὲ καὶ σκόλιον τὸ παρὰ τὴν θυσίαν ᾀσθέν, ἐν ᾧ τὴν ἀρχὴν εὐθέως πεποίηται πρὸς τὰς ἑταίρας, αἳ παραγενομένου τοῦ Ξενοφῶντος καὶ θύοντος τῇ Ἀφροδίτῃ συνέθυσαν. διόπερ ἔπη

ὦ Κύπρου δέσποινα, τεὸν δηὖτ᾽ ἐς ἄλσος φορβάδων
κορᾶν ἀγέλαν ἑκατόγγυιον Ξενοφῶν τελέαις 574
ἀπάγαγ᾽ εὐχωλαῖς ἰανθείς.

ἤρξατο δ᾽ οὕτως τοῦ μέλους

πολύξεναι νεάνιδες, ἀμφίπολοι
Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ,
αἵτε τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρη
θυμιᾶτε, πολλάκι ματέρ᾽ ἐρώτων οὐρανίαν πτάμεναι
νόημα ποττὰν Ἀφροδίταν,
ὑμῖν ἄνευθ᾽ ἐπαγορίας ἔπορεν,
ὦ παῖδες, ἐρατειναῖς ἐν εὐναῖς
μαλθακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι.
σὺν δ᾽ ἀνάγκᾳ πᾶν καλόν.

ἀρξάμενός θ᾽ οὕτως ἑξῆς φησιν

ἀλλὰ θαυμάζω τί με λεξοῦντι Ἰσθμοῦ b
δεσπόται τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου,
ξυνάορον ξυναῖς γυναιξί.

δῆλον γὰρ ὅτι πρὸς τὰς ἑταίρας διαλεγόμενος ἠγωνία ποῖόν τι φανήσεται τοῖς Κορινθίοις τὸ πρᾶγμα.

πιστεύων δέ, ὡς ἔοικεν, αὐτὸς αὑτῷ πεποίηκεν εὐθέως
ἐδείξαμεν χρυσὸν καθαρὸν βασάνῳ.

ὅτι δὲ καὶ ἀφροδίσια ἴδια ἄγουσιν αὐτόθι αἱ ἑταῖραι Ἄλεξις ἐν Φιλούσῃ φησίν

ἀφροδίσι' ἦγε ταῖς ἑταίραις ἡ πόλις,
c ἕτερα δὲ χωρίς ἐστι ταῖς ἐλευθέραις.
ταῖς ἡμέραις ταύταις δὲ κωμάζειν ἔθος
ἐστὶν νόμος τε τὰς ἑταίρας ἐνθάδε
μεθύειν μεθ' ἡμῶν.

34. ἐν δὲ Λακεδαίμονι, ὥς φησι Πολέμων ὁ περιηγητὴς ἐν τῷ περὶ τῶν ἐν Λακεδαίμονι ἀναθημάτων, εἰκών ἐστι τῆς διαβοήτου ἑταίρας Κοττίνας, ἥν φησι καὶ βοῦν ἀναθεῖναι χαλκῆν γράφων οὕτως 'καὶ τὸ Κοττίνας δὲ τῆς ἑταίρας εἰκόνιον, ἧς διὰ τὴν ἐπι-
d φάνειαν οἴκημά τι λέγεται καὶ νῦν ἐγγυτάτω τῆς κολώνης, ἵνα τὸ Διονύσιόν ἐστιν, ἐπιφανὲς καὶ πολλοῖς ἐγνωσμένον τῶν ἐν τῇ πόλει. ἀνάθημα δ' αὐτῆς ἐστιν ὑπὲρ τὸ τῆς χαλκιοίκου βοίδιόν τι χαλκοῦν καὶ τὸ προειρημένον εἰκόνιον.' Ἀλκιβιάδης δ' ὁ καλός, ἐφ' οὗ τις τῶν κωμικῶν ἔφη

ἀλλ' Ἀλκιβιάδην τὸν ἁβρόν, ὦ γῆ καὶ θεοί,
ὃν ἡ Λακεδαίμων μοιχὸν ἐπιθυμεῖ λαβεῖν,

ὑπὸ τῆς Ἄγιδος ἀγαπώμενος γυναικὸς ἐπὶ τὰς τῶν
e ἑταιρίδων θύρας ἐκώμαζεν, ἀπολιπὼν τὰς Λακαίνας καὶ τὰς Ἀττικάς. Μεδοντίδος γοῦν τῆς Ἀβυδηνῆς ἐξ ἀκοῆς ἐρασθεὶς ἔστερξε καὶ πλεύσας εἰς Ἑλλήσποντον σὺν Ἀξιόχῳ, ὃς ἦν αὐτοῦ τῆς ὥρας ἐραστής, ὥς φησι Λυσίας ὁ ῥήτωρ ἐν τῷ κατ' αὐτοῦ λόγῳ, καὶ ταύτης ἐκοινώνησεν αὐτῷ. καὶ ἑτέρας δὲ δύο ἑταίρας περιήγετο ἀεὶ ὁ Ἀλκιβιάδης, Δαμασάνδραν τῆς Λαΐδος τῆς νεωτέρας μητέρα καὶ Θεοδότην· ὑφ' ἧς καὶ ἀποθανὼν ἐκηδεύθη ἐν Μελίσσῃ κώμῃ τῆς Φρυγίας, ἐπιβουλευ-

θεὶς ὑπὸ Φαρναβάζου. εἴδομεν δὲ καὶ ἡμεῖς τὸ ἐν f
Μελίσσῃ τοῦ Ἀλκιβιάδου μνῆμα ἐκ Συννάδων εἰς
Μητρόπολιν ἀφικνούμενοι· ἐν ᾧ καὶ κατ᾽ ἔτος θύεται
βοῦς, διακελευσαμένου τοῦτο τοῦ πάντ᾽ ἀρίστου Ἀδρια-
νοῦ βασιλέως, ὃς καὶ ἀνέστησεν ἐπὶ τῷ μνήματι πα-
ρίου λίθου εἰκόνα τὸν Ἀλκιβιάδην.

35. οὐ χρὴ δὲ θαυμάζειν εἰ ἐξ ἀκοῆς τινες 575
ἠράσθησάν τινων, ὁπότε Χάρης ὁ Μυτιληναῖος ἐν τῷ
δεκάτῳ τῶν ἱστοριῶν τῶν περὶ Ἀλέξανδρον φησὶν
ὀνείρατι θεασαμένους τινὰς οὓς μὴ πρότερον εἶδον
ἐρασθῆναι αὐτῶν· γράφει δὲ οὕτως „Ὑστάσπῃ νεώ-
τερος ἦν ἀδελφὸς Ζαριάδρης, περὶ ὧν λέγουσιν οἱ
ἐπιχώριοι ὅτι ἐξ Ἀφροδίτης καὶ Ἀδώνιδος ἐγεννή-
θησαν. ἐκυρίευσε δὲ ὁ μὲν Ὑστάσπης Μηδίας καὶ τῆς
ὑποκάτω χώρας, ὁ δὲ Ζαριάδρης τῶν ὑπεράνω Κασ-
πίων πυλῶν μέχρι τοῦ Τανάιδος. τῶν δ᾽ ἐπέκεινα b
τοῦ Τανάιδος Ὁμάρτῃ βασιλεῖ Σαρματῶν θυγάτηρ ἦν
ὄνομα Ὀδάτις· περὶ ἧς ἐν ταῖς ἱστορίαις γέγραπται ὡς
ἄρα κατὰ τὸν ὕπνον ἰδοῦσα τὸν Ζαριάδρην ἐρασθείη,
τὸ δ᾽ αὐτὸ τοῦτο κἀκείνῳ πάθος συμπεσεῖν πρὸς αὐ-
τήν. διετέλουν γοῦν ἀλλήλων ἐπιθυμοῦντες διὰ τὴν
κατὰ τὸν ὕπνον φαντασίαν. ἦν δὲ ἡ Ὀδάτις καλλίστη
τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν, καὶ ὁ Ζαριάδρης δὲ
ἦν καλός. πέμποντος οὖν τοῦ Ζαριάδρου πρὸς τὸν
Ὁμάρτην καὶ φιλοτιμουμένου γῆμαι τὴν ἄνθρωπον, c
οὐ συνετίθετο ὁ Ὁμάρτης διὰ τὸ εἶναι ἀρρένων παί-
δων ἔρημος· ἤθελε γὰρ αὐτὴν δοῦναι ἑνὶ τῶν περὶ
αὐτὸν οἰκείων. καὶ μετ᾽ οὐ πολὺν χρόνον ὁ Ὁμάρτης
συναγαγὼν τοὺς ἐκ τῆς βασιλείας δυνάστας καὶ φί-
λους καὶ συγγενεῖς ἐποιεῖτο τοὺς γάμους οὐ προειπὼν
ὅτῳ μέλλοι διδόναι τὴν θυγατέρα. ἀκμαζούσης οὖν
τῆς μέθης εἰσκαλέσας τὴν Ὀδάτιν ὁ πατὴρ εἰς τὸ συμ-

πόσιον εἶπεν ἀκουόντων τῶν συνδείπνων ‘ἡμεῖς, ὦ θύγατερ Ὀδάτι, νῦν ποιούμεθα τοὺς σοὺς γάμους.
d περιβλέψασα οὖν καὶ θεωρήσασα πάντας λαβοῦσα χρυσῆν φιάλην καὶ πληρώσασα δὸς ᾧ θέλεις γαμηθῆναι· τούτου γὰρ κεκλήσῃ γυνή.’ κἀκείνη περιβλέψασα πάντας ἀπῄει δακρύουσα, ποθοῦσα τὸν Ζαριάδρην ἰδεῖν· ἐπεστάλκει γὰρ αὐτῷ ὅτι μέλλουσιν οἱ γάμοι συντελεῖσθαι. ὁ δὲ στρατοπεδεύων ἐπὶ τοῦ Τανάιδος καὶ διαλαθὼν τὴν στρατοπεδείαν διέβη μετὰ μόνου τοῦ ἁρματηλάτου, καὶ νυκτὸς ὁρμήσας ἐπὶ τοῦ ἅρματος διῆλθε διὰ τῆς πόλεως, διώξας περὶ τοὺς ὀκτακο-
e σίους σταδίους. πλησίον δὲ τῆς κώμης γενόμενος ἐν ᾗ τοὺς γάμους συνετέλουν, καὶ καταλιπὼν ἔν τινι τόπῳ αὐτῷ ἅρματι τὸν ἁρματηλάτην προῆγεν ἐνδεδυκὼς στολὴν σκυθικήν. καὶ παρελθὼν εἰς τὴν αὐλὴν καὶ ἰδὼν τὴν Ὀδάτιν ἑστηκυῖαν πρὸ τοῦ κυλικείου καὶ δακρύουσαν κιρνῶσάν τε βραδέως τὴν φιάλην, εἶπε πλησίον στὰς παρ’ αὐτὴν ‘ὦ Ὀδάτι, πάρειμι δή σοι καθάπερ ἠξίωσας, ἐγὼ Ζαριάδρης.’ ἣ δὲ κατανοήσασα ξένον ἄνδρα καὶ καλὸν καὶ ὅμοιον τῷ κατὰ τὸν ὕπνον ἑωραμένῳ περιχαρὴς γενομένη δίδωσιν
f αὐτῷ τὴν φιάλην· καὶ ὃς ἁρπάσας αὐτὴν ἀπήγαγεν ἐπὶ τὸ ἅρμα καὶ ἔφυγεν ἔχων τὴν Ὀδάτιν. οἱ δὲ παῖδες καὶ αἱ θεράπαιναι συνειδυῖαι τὸν ἔρωτα κατεσιώπησαν, καὶ κελεύοντος τοῦ πατρὸς καλεῖν οὐκ ἔφασαν εἰδέναι ὅπου πεπόρευται. μνημονεύεται δὲ ὁ ἔρως οὗτος παρὰ τοῖς τὴν Ἀσίαν οἰκοῦσι βαρβάροις καὶ περισσῶς ἐστι ζηλωτός, καὶ τὸν μῦθον τοῦτον ζωγραφοῦσιν ἐν τοῖς ἱεροῖς καὶ τοῖς βασιλείοις, ἔτι δὲ ταῖς ἰδιωτικαῖς οἰκίαις· καὶ ταῖς ἑαυτῶν θυγατράσιν οἱ πολλοὶ τῶν δυναστῶν ὄνομα τίθενται Ὀδάτιν.’

576 36. τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης

ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ γράφων οὕτως ‛Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι ἔκτισαν Μασσαλίαν. Εὔξενος δ᾽ ὁ Φωκαεὺς Νάνῳ τῷ βασιλεῖ, τοῦτο δ᾽ ἦν αὐτῷ ὄνομα, ἦν ξένος. οὗτος ὁ Νάνος ἐπιτελῶν γάμους τῆς θυγατρὸς κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον παρακέκληκεν ἐπὶ τὴν θοίνην. ὁ δὲ γάμος ἐγίγνετο τόνδε τὸν τρόπον. ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα φιάλην κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων· ᾧ δὲ δοίη, b
τοῦτον εἶναι νυμφίον. ἡ δὲ παῖς εἰσελθοῦσα δίδωσιν εἴτε ἀπὸ τύχης εἴτε καὶ δι᾽ ἄλλην τινὰ αἰτίαν τῷ Εὐξένῳ· ὄνομα δ᾽ ἦν τῇ παιδὶ Πέττα. τούτου δὲ συμπεσόντος καὶ τοῦ πατρὸς ἀξιοῦντος, ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως, ἔχειν αὐτήν, ἔλαβεν ὁ Εὔξενος γυναῖκα καὶ συνῴκει μεταθέμενος τοὔνομα Ἀριστοξένην. καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου μέχρι νῦν Πρωτιάδαι καλούμενον· Πρῶτος γὰρ ἐγένετο υἱὸς Εὐξένου καὶ τῆς Ἀριστοξένης.“

37. Θεμιστοκλῆς τε, ὥς φησιν Ἰδομενεύς, οὐχ c
ἅρμα ζευξάμενος ἑταιρῶν πληθούσης ἀγορᾶς εἰσήλασεν εἰς τὸ ἄστυ; ἦσαν δὲ αὗται Λάμια καὶ Σκιώνη καὶ Σατύρα καὶ Νάννιον. οὐ καὶ αὐτὸς Θεμιστοκλῆς ἐξ ἑταίρας ἦν γεγενημένος ὄνομα Ἀβροτόνου; ὡς Ἀμφικράτης ἱστορεῖ ἐν τῷ περὶ ἐνδόξων ἀνδρῶν συγγράμματι·

Ἀβρότονον Θρήισσα γυνὴ γένος, ἀλλὰ τεκέσθαι
τὸν μέγαν Ἕλλησιν φημὶ Θεμιστοκλέα.

Νεάνθης δ᾽ ὁ Κυζικηνὸς ἐν τῇ τρίτῃ καὶ τετάρτῃ τῶν d
Ἑλληνικῶν ἱστοριῶν Εὐτέρπης αὐτὸν εἶναί φησιν υἱόν. Κῦρος δὲ ὁ ἐπὶ τὸν ἀδελφὸν ἐπιστρατεύσας οὐχὶ ἑταίραν οὖσαν τὴν Φωκαΐδα τὴν σοφωτάτην καὶ καλλίστην γενομένην, εἶχε συστρατευομένην; ἣν Ζηνο-

φάνης φησὶ πρότερον Μιλτὼ καλουμένην Ἀσπασίαν μετονομασθῆναι. συνηκολούθει δὲ αὐτῷ καὶ ἡ Μιλησία παλλακίς. ὁ δὲ μέγας Ἀλέξανδρος οὐ Θαίδα
e εἶχε μεθ᾽ ἑαυτοῦ τὴν Ἀττικὴν ἑταίραν; περὶ ἧς φησι Κλείταρχος ὡς αἰτίας γενομένης τοῦ ἐμπρησθῆναι τὰ ἐν Περσεπόλει βασίλεια. αὕτη δὲ ἡ Θαὶς καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον καὶ Πτολεμαίῳ ἐγαμήθη τῷ πρώτῳ βασιλεύσαντι Αἰγύπτου, καὶ ἐγέννησεν αὐτῷ τέκνον Λεοντίσκον καὶ Λᾶγον, θυγατέρα δὲ Εἰρήνην, ἣν ἔγημεν Εὔνοστος, ὁ Σόλων τῶν ἐν Κύπρῳ βασιλεύς. καὶ ὁ δεύτερος δὲ τῆς Αἰγύπτου βασιλεύς, φιλάδελφος δ᾽ ἐπίκλην, ὡς ἱστορεῖ ὁ εὐεργέτης Πτολεμαῖος ἐν τῷ τρίτῳ τῶν ὑπομνημάτων, πλείστας ἔσχεν ἐρωμένας·
f Διδύμην μὲν μίαν τῶν ἐπιχωρίων γυναικῶν μάλ᾽ εὐπρεπεστάτην τὴν ὄψιν, καὶ Βιλιστίχην, ἔτι δὲ Ἀγαθόκλειαν καὶ Στρατονίκην, ἧς τὸ μέγα μνημεῖον ὑπῆρχεν ἐπὶ τῇ πρὸς Ἐλευσῖνι θαλάσσῃ, καὶ Μύρτιον καὶ ἄλλας δὲ πλείστας, ἐπιρρεπέστερος ὢν πρὸς ἀφροδίσια. Πολύβιος δ᾽ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν ἱστοριῶν Κλεινοῦς φησι τῆς οἰνοχοούσης αὐτῷ εἰκόνας πολλὰς ἀνακεῖσθαι κατὰ τὴν Ἀλεξάνδρειαν, μονοχίτωνας καὶ ῥυτὸν ἐχούσας ἐν ταῖς χερσίν. αἱ δὲ κάλλισται τῶν οἰκιῶν, φησίν, οὐ Μυρτίου καὶ Μνησίδος καὶ Ποθεινῆς προσαγορεύονται; καίτοι Μνησὶς μὲν ἦν αὐλητρὶς καὶ Ποθεινή, Μύρτιον δὲ μία τῶν ἀποδεδειγμένων καὶ κοινῶν δεικτηριάδων. τοῦ δὲ φιλοπάτορος βασιλέως
577 Πτολεμαίου οὐκ Ἀγαθόκλεια ἡ ἑταίρα ἐκράτει ἡ καὶ πᾶσαν ἀνατρέψασα τὴν βασιλείαν; Εὔμαχος δ᾽ ὁ Νεαπολίτης ἐν τῇ δευτέρᾳ τῶν περὶ Ἀννίβαν ἱστοριῶν Ἱερώνυμόν φησι τὸν τυραννήσαντα Συρακοσίων ἀγαγέσθαι γυναῖκα τῶν ἐπ᾽ οἰκήματος προεστηκυιῶν Πειθὼ ὄνομα καὶ ἀποδεῖξαι βασιλίδα.

38. Τιμόθεος δ' ὁ στρατηγήσας Ἀθηναίων ἐπιφανῶς ἑταίρας ἦν υἱὸς Θρᾴττης τὸ γένος, σεμνῆς δ' ἄλλως τοὺς τρόπους. μεταβάλλουσαι γὰρ αἱ τοιαῦται εἰς τὸ σῶφρον τῶν ἐπὶ τούτῳ σεμνυνομένων εἰσὶ βελτίους. ὁ δὲ Τιμόθεος καὶ σκωπτόμενός ποτε ὅτι τοιαύτης εἴη b
μητρός, καὶ χάριν γε αὐτῇ, φησίν, οἶδα, ὅτι δι' αὐτὴν Κόνωνός εἰμι υἱός. Φιλέταιρον δὲ τὸν Περγάμου καὶ τῆς Καινῆς ταύτης λεγομένης βασιλεύσαντα χώρας Βόας αὐλητρίδος ἑταίρας, τὸ γένος ἀπὸ Παφλαγονίας, υἱόν φησι γενέσθαι Καρύστιος ἐν ἱστορικοῖς ὑπομνήμασιν. Ἀριστοφῶν δὲ ὁ ῥήτωρ ὁ τὸν νόμον εἰσενεγκὼν ἐπ' Εὐκλείδου ἄρχοντος, ὃς ἂν μὴ ἐξ ἀστῆς γένηται νόθον εἶναι, αὐτὸς ἀπεδείχθη ὑπὸ Καλλιάδου τοῦ c
κωμικοῦ ἐκ Χορηγίδος τῆς ἑταίρας παιδοποιησάμενος, ὡς ὁ αὐτὸς ἱστορεῖ Καρύστιος ἐν τρίτῳ ὑπομνημάτων. Δημήτριος δ' ὁ πολιορκητὴς οὐ δαιμονίως ἤρα Λαμίας τῆς αὐλητρίδος, ἐξ ἧς ἔσχε καὶ θυγατέρα Φίλαν; τὴν δὲ Λάμιαν Πολέμων φησὶν ἐν τῷ περὶ τῆς ἐν Σικυῶνι ποικίλης στοᾶς θυγατέρα μὲν εἶναι Κλεάνορος Ἀθηναίου, κατασκευάσαι δὲ Σικυωνίοις τὴν προκειμένην στοάν. ἤρα δὲ καὶ Λεαίνης καὶ αὐτῆς ἑταίρας Ἀττικῆς ὁ Δημήτρος καὶ ἄλλων δὲ πλειόνων. d

39. Μάχων δὲ ὁ κωμῳδιοποιὸς ἐν ταῖς ἐπιγραφομέναις Χρείαις φησὶν οὕτως

ὑπερβολῇ δὲ τῆς Λεαίνης σχῆμά τι
περαινομένης εὖ παρά τε τῷ Δημητρίῳ
εὐημερούσης, φασὶ καὶ τὴν Μανίαν
τὸν βασιλέ' εὐμελῶς κελητίσαι ποτὲ
ἐπαινεθῆναί θ'. ἣ δὲ τοῦτ' ἀπεκρίθη,
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κράτει.

ἦν δὲ ἡ Λάμια σφόδρα εὔθικτος καὶ ἀστικὴ πρὸς τὰς ἀποκρίσεις, καθάπερ καὶ Γνάθαινα, περὶ ἧς ἐροῦμεν. e

πάλιν δὲ περὶ τῆς Λαμίας ὁ Μάχων οὕτω γράφει

Δημήτριός ποθ' ὁ βασιλεὺς γένη μύρων
Λαμίᾳ παρὰ πότον παντοδαπῶν ἐπεδείκνυτο.
ἡ Λάμια δ' ἦν αὐλητρίς, ἧς σφόδρ' ἡδέως
σχεῖν φασι κνισθῆναί τε τὸν Δημήτριον.
ἀποδοκιμαζούσης δὲ πάντα καὶ πάνυ
κατεγχλιδώσης τῷ βασιλεῖ, νάρδον τινὰ
f διένευσ' ἐνεγκεῖν δυσχερῆ, τῇ χειρί τε
τᾆδοῖον ἀποτρίψας θιγὼν τοῖς δακτύλοις,
τουτί γε Λάμια, φησίν, ὀσφράνθητι καὶ
εἴσει παρὰ τἆλλα διαφορὰν ὅσην ἔχει.
κείνη δὲ γελάσασ', ἀλλὰ τοῦτ', ἔφη, τάλαν,
ὄζειν δοκεῖ μοι σαπρότατον πάντων πολύ.
Δημήτριος δ' εἶπ', ἀλλὰ μὴν νὴ τοὺς θεοὺς
ἀπὸ βαλάνου τοῦτ' ἔστι, Λάμια, βασιλικῆς.

40. *Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου ἐν ταῖς περὶ*
578 *τὸν Φιλοπάτορα ἱστορίαις βασιλέων ἐρωμένας ἀναγράφων φησί „Φιλίππου τοῦ Μακεδόνος αὐξήσαντος Φίλινναν τὴν ὀρχηστρίδα, ἐξ ἧς καὶ γεννῆσαι Ἀριδαῖον τὸν μετὰ Ἀλέξανδρον βασιλεύσαντα· Δημητρίου δὲ τοῦ πολιορκητοῦ μετὰ τὰς προειρημένας Μανίαν, Ἀντιγόνου δὲ Δημώ, ἐξ ἧς Ἀλκυονέα γεννηθῆναι, Σελεύκου δὲ τοῦ νεωτέρου Μύσταν καὶ Νῦσαν.“ Ἡρακλείδης δὲ ὁ Λέμβος ἐν τῇ ἕκτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν Δημὼ φησιν ἐρωμένην γενέσθαι τοῦ Δημη-*
b *τρίου· ᾗ ἐπιμανῆναι καὶ τὸν πατέρα αὐτοῦ Ἀντίγονον, καὶ ἀποκτεῖναι Ὀξύθεμιν, ὡς καὶ πολλὰ συνεξαμαρτάνοντα τῷ Δημητρίῳ καὶ ὅτι ἀπέκτεινε τὰς τῆς Δημοῦς θεραπαίνας στρεβλῶν.*

41. *περὶ δὲ τοῦ εἰρημένου τῆς Μανίας ὀνόματος ὁ Μάχων τάδε φησίν*

*ἴσως δ' ἂν ἀπορήσαι τις εὐλόγως θ' ἅμα*
*τῶν νῦν ἀκροατῶν, εἴ τις Ἀττικὴ γυνὴ*
*προσηγορεύετ' ἢ 'νομίσθη Μανία.*
*αἰσχρὸν γὰρ ὄνομα φρυγιακὸν γυναῖκ' ἔχειν,*
*καὶ ταῦθ' ἑταίραν ἐκ μέσης τῆς Ἑλλάδος.* c
*ἢ τὴν Ἀθηναίων τί κωλύσει πόλιν,*
*ὑφ' ἧς ἅπαντές εἰσ' ἐπηνωρθωμένοι;*
*τὸ μὲν οὖν ὑπάρχον εὐθέως ἐκ παιδίου*
*αὐτῇ Μέλιττ' ἦν ὄνομα. τῷ μεγέθει μὲν ἦν*
*τῶν τότε γυναικῶν βραχύ τι καταδεεστέρα,*
*φωνῇ δ' ὁμιλίᾳ τε κεχορηγημένη,*
*πάνυ δ' εὐπρόσωπος οὖσα καὶ καταπληκτικὴ*
*πολλοὺς ἐραστὰς καὶ πολίτας καὶ ξένους*
*ἔχουσ', ὅπουπερ περὶ γυναικός τις λόγος* d
*γένοιτο, μανίαν τὴν Μέλιτταν ὡς καλὴν*
*ἔφασκον εἶναι. καὶ προσεξειργάζετο*
*αὐτὴ τὸ πλεῖον. ἡνίκα σκώψειε γάρ,*
*ῥημάτιον εὐθὺς τοῦτο μανίαν ἀνεβόα·*
*αὐτή θ' ὅτ' ἐπαινοίη τιν' ἢ ψέγοι πάλιν,*
*ἐπ' ἀμφοτέρων προσέκειτο μανία τῶν λόγων.*
*διὸ τῆς μανίας ἐπίρρημ' ἐκτείνας δοκεῖ*
*καλέσαι τις αὐτὴν τῶν ἐραστῶν Μανίαν·*
*μᾶλλον τὸ πάρεργον δ' ἐπεκράτησ' ἢ τοὔνομα.* e
*δοκεῖ δὲ λιθιᾶν, ὡς ἔοιχ', ἡ Μανία,*
*Γνάθαινά τ' εἰς τὰ στρώμαθ' ὅτι προΐεται,*
*ἐνουθετήθη τοῦτό πως ὑπὸ Διφίλου.*
*μετὰ ταῦτα δ' ἡ Γνάθαινα πρὸς τὴν Μανίαν*
*ἐλοιδορεῖτο καὶ λέγει, τί τοῦτο παῖ;*
*εἰ δὲ λίθον εἶχες — ὑπολαβοῦσ' ἡ Μανία,*
*ἔδωκ' ἂν ἵν' ἔχῃς, φήσ', ἀποψᾶσθαι τάλαν.*

42. *ὅτι δ' ἦν καὶ ἀστεία τις ἀποκρίνασθαι τάδε περὶ αὐτῆς Μάχων ἀναγράφει* f

τῆς Μανίας ἤρα Λεοντίσκος ποτὲ
ὁ παγκρατιαστὴς καὶ συνεῖχ᾽ αὐτὴν μόνος
γαμετῆς τρόπον γυναικός. ὑπὸ δ᾽ Ἀντήνορος
μοιχευομένην αἰσθόμενος αὐτὴν ὕστερον,
σφόδρ᾽ ἠγανάκτησ᾽. ἣ δέ, μηθέν, φησί, σοί,
ψυχή, μελέτω· μαθεῖν γὰρ αἰσθέσθαι θ᾽ ἅμα
ὀλυμπιονικῶν νυκτὸς ἀθλητῶν δυοῖν
579 πληγὴν [παρὰ πληγὴν] τί δύναταί ποτ᾽ ἤθελον.
αἰτουμένην λέγουσι τὴν πυγήν ποτε
ὑπὸ τοῦ βασιλέως Μανίαν Δημητρίου
ἀνταξιῶσαι δωρεὰν καὐτόν τινα.
δόντος δ᾽ ἐπιστρέψασα μετὰ μικρὸν λέγει,
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν᾽ ἔξεστί σοι.
εἶναι δοκῶν αὐτόμολος ἄνθρωπος ξένος
καὶ παρεπιδημήσας Ἀθήνησίν ποτε
τὴν Μανίαν μετεπέμψαθ᾽, ὅσον ᾔτησε δούς.
b εἰς τὸν δὲ πότον ἦν συμπαρειληφώς τινας
ἐκ τῆς πόλεως τῶν ἐπιγελᾶν εἰθισμένων
ἅπαντα τοῖς τρέφουσιν ἀεὶ πρὸς χάριν·
βουλόμενος εἶναι γλαφυρὸς ἀστεῖός θ᾽ ἅμα,
τῆς Μανίας ἄριστα παιζούσης σφόδρα
ἀνισταμένης τε πολλάκις εἰς δασύποδα
αὐτὴν ἐπικροῦσαι βουλόμενος, πρὸς τῶν θεῶν,
μειράκια, τί δοκεῖ τῶν ἀγρίων ὑμῖν ποτε
c ἐν τοῖς ὄρεσι τάχιστα θηρίον τρέχειν;
ἡ Μανία δ᾽, αὐτόμολος ὦ βέλτιστ᾽, ἔφη.
μετὰ ταῦτα δ᾽ ὡς εἰσῆλθε πάλιν ἡ Μανία,
τὸν αὐτόμολον ἔσκωπτε, ῥίψασπίν τ᾽ ἔφη
αὐτὸν γεγονέναι προσβολῆς οὔσης ποτέ.
ὁ δὲ στρατιώτης ὑπό τι δὴ σκυθρωπάσας
ἐμέμψετ᾽ αὐτήν, διαλιποῦσα δ᾽ ἡτέρα,
μηθὲν παρὰ τοῦτο, φησί, λυποῦ, φίλτατε·

*οὐ γὰρ σὺ φεύγων ἀπέβαλες τὴν ἀσπίδα*
*μὰ τὴν Ἀφροδίτην, ἀλλ' ὅ σοι χρήσας τότε.* d
*ἐν συμποσίῳ δ', ὥς φασι, παρὰ τῇ Μανίᾳ*
*παρεδέξατ' αὐτὴν τῶν πονηρῶν τις πάνυ.*
*κᾆθ' ὡς ἐπηρώτησε, πότερ' ἄνω θέλεις*
*ἐλθοῦσ' ἀναπεσεῖν ἢ κάτω; γελάσασ', ἄνω*
*βέλτιστε, φησίν. ὑπό τι γὰρ δέδοικά σε*
*μή μου προπεσούσης τοὐμπλόκιον ὑπεκτράγῃς.*

43. *καὶ ἄλλων δὲ ἑταιρῶν ἀπομνημονεύματα ὁ Μάχων συνήγαγεν, ὧν οὐκ ἄκαιρόν ἐστι κατὰ τὸ ἑξῆς* e *μνημονεῦσαι. Γναθαίνης μὲν οὕτως*

*[παρὰ Γναθαίνῃ Δίφιλος πίνων ποτὲ*
*ψυχρόν γ', ἔφη, τἀγγεῖον ὦ Γνάθαιν' ἔχεις.*
*τῶν σῶν γάρ, εἶπεν, ἐπιμελῶς ὦ Δίφιλε*
*εἰς αὐτό γ' ἀεὶ δραμάτων ἐμβάλλομεν.]*
*πρὸς τὴν Γνάθαιναν Δίφιλος κληθείς ποτε*
*ἐπὶ δεῖπνον, ὡς λέγουσι, τοῖς ἀφροδισίοις,*
*τιμώμενος μάλιστα τῶν ἐρωμένων,*
*λήθῃ θ' ὑπ' αὐτῆς ἐκτενῶς ἀγαπώμενος,*
*παρῆν ἔχων δύο χῖα, θάσια τέτταρα,*
*μύρον, στεφάνους, τραγήματ', ἔριφον, ταινίας,*
*ὄψον, μάγειρον, τὰ μετὰ ταῦτ', αὐλητρίδα.*
*καὶ τῶν ἐραστῶν συριακοῦ τινος ξένου* f
*πέμψαντος αὐτῇ χιόνα σαπέρδην θ' ἕνα,*
*αἰσχυνομένη τὰ δῶρα μή τις καταμάθῃ,*
*φυλαττομένη τε πολὺ μάλιστα Δίφιλον,*
*μὴ δῷ δίκην μετὰ ταῦτα κωμῳδουμένη,*
*τὸ μὲν τάριχος εἶπε ταχέως ἀποφέρειν*
*πρὸς τοὺς σπανίζειν ὁμολογουμένους ἁλῶν,*
*τὴν χιόνα δ' εἰς τὸν ἄκρατον ἐνσεῖσαι λάθρᾳ·*
*τῷ παιδί τ' ἐπέταξ' ἐγχέανθ' ὅσον δέκα* 580
*κυάθους προσενεγκεῖν Διφίλῳ ποτήριον.*

ὑπερηδέως δὲ τὴν κύλικ᾽ ἐκπιὼν ἄφνω
καὶ τὸ παράδοξον καταπλαγεὶς ὁ Δίφιλος,
νὴ τὴν Ἀθηνᾶν καὶ θεοὺς ψυχρόν γ᾽, ἔφη,
Γνάθαιν᾽ ἔχεις τὸν λάκκον ὁμολογουμένως.
ἣ δ᾽ εἶπε, τῶν σῶν δραμάτων γὰρ ἐπιμελῶς
εἰς αὐτὸν ἀεὶ τοὺς προλόγους ἐμβάλλομεν.
　　μαστιγίας μώλωπας ὑψηλοὺς ἔχων
μετὰ τῆς Γναθαίνης ἀπὸ τύχης ἀνεπαύετο.
b περιλαμβάνουσα δ᾽ αὐτόν, ὡς ἀνώμαλον
τὸ νῶτον εἶχε παντελῶς, τάλαν τάλαν
ἄνερ, πόθεν ἔχεις ταῦτ᾽, ἔφη, τὰ τραύματα;
κἀκεῖνος αὐτῇ συντόμως ἀπεκρίνατο
ὅτι παῖς ἔτ᾽ ὢν ἐνήλατ᾽ εἰς πυράν ποτε
παίζων μετά τινων ἡλικιωτῶν ἐνέπεσεν.
ναὶ τὴν φίλην Δήμητρα, δικαίως τοι γάρ,
ἄνθρωπε, φησίν, ἐξεδάρης ἀκόλαστος ὤν.
　　παρὰ Δεξιθέᾳ δειπνοῦσα θἠταίρᾳ ποτὲ
Γνάθαινα τοὖψον ἀποτιθείσης πᾶν σχεδὸν
c τῆς Δεξιθέας τῇ μητρί, νὴ τὴν Ἄρτεμιν,
εἰ, φησίν, ᾔδειν, ἡ Γνάθαινα, τοῦτ᾽ ἐγώ,
τῇ μητρὶ συνεδείπνουν ἄν, οὐχὶ σοί, γύναι.
　　ἐπεὶ προέβη τοῖς ἔτεσιν ἡ Γνάθαινα καὶ
ἤδη τελέως ἦν ὁμολογουμένη σορός,
εἰς τὴν ἀγορὰν λέγουσιν αὐτὴν ἐξίναι
καὶ τοὖψον ἐφορᾶν καὶ πολυπραγμονεῖν πόσου
πωλεῖθ᾽ ἕκαστον. εἶτ᾽ ἰδοῦσα κατὰ τύχην
ἱστῶντα κρεοπώλην τιν᾽ ἀστεῖον πάνυ
d τῇ θ᾽ ἡλικίᾳ σφόδρα νέον, ὦ πρὸς τῶν θεῶν,
μειράκιον, ὁ καλός, φησί, πῶς ἵστης; φράσον.
ὁ δὲ μειδιάσας, κῦβδ᾽, ἔφη, τριωβόλου.
τίς δ᾽ οὑπιτρέψων ἐστί σοι, φησίν, τάλαν,
ὄντα γ᾽ ἐν Ἀθήναις καρικοῖς χρῆσθαι σταθμοῖς;

Στρατοκλῆς ποτ' ἐρίφους προῖκ' ἐδίδου τοῖς γνωρίμοις
λοπάδας ἐνάλμους τ', εὖ συναρτύειν δοκῶν,
καὶ δίψαν ὑπολειπόμενοι εἰς τὴν αὔριον
τοῖς ἐπισυνάπτειν βουλομένοις τὸν ἑωθινόν, e
μακρὰς δὲ πράττειν εἰς τὰ λοιπὰ ξυμβολάς.
Γνάθαινα δ' αὐτῆς εἶπε πρὸς ἐραστήν τινα,
στραγγευόμενον ὁρῶσα περὶ τὰς συμβολάς,
Στρατοκλῆς ἐπ' ἐρίφοις, φησί, χειμῶνας ποιεῖ.
ἰδοῦσ' ἔφηβον ἡ Γνάθαιν' ἰσχνὸν πάνυ
καὶ μέλανα λεπτόν θ', ὡς ἔοιχ', ὑπερβολῇ
καὶ ῥυπαρόν, ἔτι δὲ τῶν ἐφήβων βραχύτερον,
ἔσκωπτεν εἰς Ἄδωνιν. ἀναγώγως δέ πως
τοῦ μειρακίσκου καὶ τυραννικώτερον f
αὐτῇ συναντήσαντος ἐμβλέψασα τῇ
θυγατρὶ μετ' αὐτῆς συμπορευομένῃ λέγει,
δικαιότερον ἦν, ὦ τέκνον, νὴ τὼ θεώ . . .
λέγουσι ποντικόν τι μειρακύλλιον
ἀναπαυόμενον μετὰ τῆς Γναθαίνης ἀξιοῦν
πρὸς ἕω γενόμενον, ὥστε τὴν πυγὴν ἅπαξ
αὐτῷ παρασχεῖν· τὴν δὲ τοῦτ' εἰπεῖν, τάλαν,
ἔπειτα τὴν πυγήν με νῦν αἰτεῖς, ὅτε
τὰς ὗς ἐπὶ νομὴν καιρός ἐστιν ἐξάγειν; 581

44. καὶ Γναθαινίου δέ γε τῆς θυγατριδῆς αὐτῆς τάδε ἀναγράφει

εἰς τὰς Ἀθήνας παρεπιδημήσας ξένος
σατράπης πάνυ γέρων ὡς ἐνενήκοντ' ὢν ἐτῶν
κρονίοις ἀπιοῦσαν εἶδε τὴν Γναθαίνιον
μετὰ τῆς Γναθαίνης ἐξ ἀφροδισίου τινός,
τό τ' εἶδος αὐτῆς τοὺς ῥυθμούς τε καταμαθὼν
ἐπυνθάνετο μίσθωμα πράττεται πόσον
τῆς νυκτός. ἡ Γνάθαινα δ' εἰς τὴν πορφύραν b

καὶ τὰ δόρατ᾽ ἀποβλέψασα δραχμὰς χιλίας
ἔταξεν. ὃ δ᾽ ἄφνω καιρίμην πληγείς, παπαῖ
ζωγρεῖς γύναι, φήσ᾽, ἕνεκα τοῦ στρατιωτικοῦ.
μνᾶς πραξαμένη δὲ πέντε τὰς σπονδὰς ποιοῦ,
καὶ στρῶσον ἡμῖν ἔνδον. ἣ δ᾽ ἐπιδέξιον
βουλόμενον εἶναι τὸν σατράπην ἀπεδέξατο,
c εἶπεν δέ, δὸς [τόσον] ὅσον ἐπιθυμεῖς, πάτερ·
οἶδα γὰρ ἀκριβῶς καὶ πέποιθα τοῦθ᾽ ὅτι
εἰς νύκτ᾽ ἀποδώσεις τῷ θυγατρίῳ μου διπλοῦν.
ἐν ταῖς Ἀθήναις χαλκοτύπος τις σφόδρ᾽ ἀφυής,
καταλελυκυίας τῆς Γναθαινίου σχεδὸν
οὐκ ἔτι θ᾽ ἑταιρεῖν ὑπομενούσης, διά τό πως
τὸν Ἀνδρόνικον ἡδέως αὐτῆς ἔχειν
τὸν ὑποκριτήν· τότε δ᾽ ὄντος ἐν ἀποδημίᾳ,
d ἐξ οὗ γεγονὸς ἦν ἄρρεν αὐτῷ παιδίον·
οὐχ ὑπομένουσαν τὴν Γναθαίνιον λαβεῖν
μίσθωμα, λιπαρῶν δὲ καὶ προσκείμενος
πολὺ δαπανήσας ἔσχεν αὐτὴν χρυσίον.
ἀνάγωγος ὢν δὲ καὶ βάναυσος παντελῶς
ἐν σκυτοτομίῳ μετά τινων καθήμενος
κατεσχόλαξε τῆς Γναθαινίου λέγων,
ἑτέρῳ τρόπῳ μὲν συγγενέσθαι μηδενί,
ἑξῆς καθιππάσθαι δ᾽ ὑπ᾽ αὐτῆς πεντάκις.
e μετὰ ταῦτ᾽ ἀκούσας Ἀνδρόνικος τὸ γεγονὸς
ἐκ τῆς Κορίνθου προσφάτως ἀφιγμένος,
. . . πικρῶς δὲ λοιδορούμενος
παρὰ τὸν πότον ταῦτ᾽ ἔλεγε τῇ Γναθαινίῳ,
αὐτὸν μὲν ἀξιοῦντα μὴ τετευχέναι
τούτου παρ᾽ αὐτῆς μηδέποτε τοῦ σχήματος,
ἐν τῷδε δ᾽ ἑτέρους ἐντρυφᾶν μαστιγίας.
ἔπειτεν εἰπεῖν φασι τὴν Γναθαίνιον,

περιλαμβάνειν γὰρ οὐκ ἐδοκίμαζον, τάλαν,
ἄνθρωπον ἄχρι τοῦ στόματος ἠσβολωμένον· f
διὰ τοῦθ᾽ ὑπέμεινα πολὺ λαβοῦσα χρυσίον,
ἐφιλοσόφησά θ᾽, ἵν᾽ ἄκρον ὡς μάλιστα καὶ
ἐλάχιστον αὐτοῦ περιλάβω τοῦ σώματος.
ἔπειτα, φασί, τῆς Γναθαινίου ποτὲ
τὸν Ἀνδρόνικον οὐ θελούσης παρὰ πότον
φιλεῖν, καθάπερ ταῖς πρότερον ἡμέραις ἀεί, 582
ὀργιζομένης δὲ διὰ τὸ μηδὲν λαμβάνειν,
ἔπειτα, πῶς γὰρ οὐχ ὁρᾷς Γνάθαιν᾽, ἔφη,
ὑπερηφάνως μοι τὴν θυγατέρα χρωμένην;
ἡ γραῦς δ᾽ ἀγανακτήσασα, τάλαν, ἔφη, τέκνον·
περίλαβε, φησί, καὶ φίλησον, εἰ θέλεις.
ἣ δ᾽ εἶπε, μῆτερ πῶς, ἔφη, μέλλω φιλεῖν
τὸν μηδὲν ὠφέλημα, τὸν ὑπὸ τὰς στέγας,
τὸ κοῖλον Ἄργος δωρεὰν θέλοντ᾽ ἔχειν;
πανηγύρεως οὔσης ποθ᾽ ἡ Γναθαίνιον b
εἰς Πειραιᾶ κατέβαινε πρὸς ξένον τινὰ
ἔμπορον ἐραστὴν εὐσταλῶς ἐπ᾽ ἀστράβης,
τὰ πάντ᾽ ἔχουσ᾽ ὀνάρια μεθ᾽ ἑαυτῆς τρία,
καὶ τρεῖς θεραπαίνας καὶ νέαν τιτθὴν μίαν.
ἔπειτεν αὐταῖς ἐπί τινος στενῆς ὁδοῦ
κακὸς παλαιστὴς ἐνέτυχέν τις τῶν ἀεὶ
ἐν τοῖς ἀγῶσιν ἐπιμελῶς ἡττημένων.
ὃς οὐ δυνάμενος τότε παρελθεῖν ῥᾳδίως
ἅμα στενοχωρῶν εἶπεν, ὦ τρισάθλιε
ὀνηλάτ᾽, εἰ μὴ θᾶττον ἐκστήσει ποτὲ c
ἐκ τῆς ὁδοῦ, τὰ γύναια ταυτὶ καταβαλῶ
σὺν τοῖς ὀναρίοις, φησί, καὶ ταῖς ἀστράβαις.
Γναθαίνιον δ᾽ εἶπ᾽, ὦ τάλαν, μὴ δῆτ᾽, ἄνερ·
οὐδέποτε γὰρ τοῦτ᾽ ἐστί σοι πεπραγμένον.

45. ἑξῆς δὲ καὶ ταῦτ᾽ ἀναγράφει

*Λαΐδα λέγουσι τὴν Κορινθίαν ποτὲ*
*Εὐριπίδην ἰδοῦσαν ἐν κήπῳ τινὶ*
*πινακίδα καὶ γραφεῖον ἐξηρτημένον*
d *εἰπεῖν, ἀπόκριναι, φησίν, ὦ ποιητά μοι,*
*τί βουλόμενος ἔγραψας ἐν τραγῳδίᾳ*
*'ἔρρ' αἰσχροποιέ'; καταπλαγεὶς δ' Εὐριπίδης*
*τὴν τόλμαν αὐτῆς, σὺ γάρ, ἔφη, τίς εἶ γύναι;*
*οὐκ αἰσχροποιός; ἡ δὲ γελάσασ' ἀπεκρίθη,*
*τί δ' αἰσχρόν, εἰ μὴ τοῖσι χρωμένοις δοκεῖ;*
*ἡ Γλυκέριον λαβοῦσα παρ' ἐραστοῦ τινος*
*κορίνθιον παράπηχυ καινὸν λήδιον,*
*ἔδωκεν εἰς γναφεῖον· εἶτ' ἐπεὶ τέλος*
*ἔδοξ' ἔχειν, πέμψασα τὴν θεραπαινίδα*
*τὸ μισθάριον ἔχουσαν ἐκέλευ' ἀποφέρειν*
e *θοἰμάτιον. ὁ γναφεὺς δ' εἶπεν, ἄν γ' ἐλᾳδίου*
*ταρτημόριά μοι, φησί, προσενέγκῃς τρία,*
*κόμισαι. τὸ κωλῦον γάρ ἐστι τοῦτό με.*
*ἡ δ' ὡς ἀπήγγειλεν, τάλαιν', εἶπεν, κακῶν,*
*ἡ Γλυκέριον· μέλλει γὰρ ὥσπερ μαινίδας*
*ἀποτηγανίζειν, φησί, μου τὸ λήδιον.*
*ὁ τοῦ Σοφοκλέους Δημοφῶν ἐρώμενος*
*τὴν αἶγα Νικὼ πρεσβυτέραν οὖσαν ποτὲ*
*νέος ὢν ἔτ' αὐτὸς εἶχεν. ἐπεκαλεῖτο δ' αἴξ,*
f *ὅτι τὸν μέγαν ποτ' ὄντ' ἐραστὴν κατέφαγεν*
*Θαλλόν· παρεγενήθη γὰρ εἰς τὴν Ἀττικὴν*
*ὠνησόμενος χελιδονείας ἰσχάδας*
*ὑμήττιόν τε φορτιούμενος μέλι.*
*λέγεται δ' ἐκείνην τὴν γυναῖκ' ἐσχηκέναι*
*πυγὴν πάνυ καλήν, ἥν ποτ' ἠξίου λαβεῖν*
*ὁ Δημοφῶν. ἣ δ' εἶπε γελάσασ', εὖ γ' ἵνα*
583 *Σοφοκλεῖ λαβὼν δῷς, φησί, παρ' ἐμοῦ, φίλτατε.*
*Καλλιστίου δὲ τῆς ὑὸς καλουμένης*

πρὸς τὴν ἑαυτῆς λοιδορουμένης ποτὲ
μητέρα, κορώνη δ' ἐπεκαλεῖτο τοὔνομα,
διέλυεν ἡ Γνάθαιν'. ἐρωτηθεῖσα δὲ
τί διαφέρονται, τί γάρ, ἔφησεν, ἄλλο πλὴν
ἄλλ' ἢ κορώνη, θάτερ' ἐκείνη μέμφεται;
Ἵππην λέγουσι τὴν ἑταίραν Θεόδοτον
ἔχειν ἐραστήν, τὸν ἐπὶ τοῦ χόρτου ποτὲ
γενόμενον. αὕτη δ' ὀψὲ τῆς ὥρας ποτὲ
εἰσῆλθεν ἐπὶ κώθωνα πρὸς τὸν βασιλέα b
Πτολεμαῖον· εἰώθει δὲ συμπίνειν ἀεὶ
αὐτῷ. λέγει δ' οὖν ὑστεροῦσα παρὰ πολύ,
Πτολεμαῖε διψῶ, φησί, παππία σφόδρα·
ἀλλ' ἐγχεέτω μοι τέτταρας κοτύλας ἔπειτ'
εἰς τὴν μεγάλην. ἔπειτεν ὁ βασιλεὺς λέγει,
εἰς τὴν λεκάνην μὲν οὖν. δοκεῖς γάρ μοι πολύν,
Ἵππη, πάνυ χόρτον, φησί, καταβεβρωκέναι.
Φρύνην ἐπείρα Μοίριχος τὴν Θεσπικήν,
κἄπειτεν αἰτήσασαν αὐτὸν μνᾶν μίαν, c
ὁ Μοίριχος, μέγ', εἶπεν. οὐ πρῴην δύο
χρυσοῦς λαβοῦσα παρεγένου ξένῳ τινί;
περίμενε τοίνυν καὶ σύ, φήσ', ἕως ἂν οὗ
βινητιάσω, καὶ τοσοῦτον λήψομαι.
Νικὼ λέγεται τὴν αἶγα, Πύθωνός τινος
αὐτήν ποτ' ἀπολιπόντος Εὔαρδιν δὲ τὴν
παχεῖαν ἀναλαβόντος, εἶτεν ὕστερον
μεταπεμπομένου ποθ', ὡς ἔοικ', αὐτήν, λέγειν
πρὸς τὸν μετιόντα παῖδα, Πύθων, φήσ', ἐπεὶ
ἤδη τι τῶν ὑῶν διάμεστος ἐγένετο, d
ἐπ' αἶγας οἷός ἐστιν ἀνακάμπτειν πάλιν;

46. μέχρι μὲν τούτων μνημονεύω τῶν ὑπὸ τοῦ Μάχωνος εἰρημένων. αἱ γὰρ καλαὶ ἡμῶν Ἀθῆναι τοσοῦτον πλῆθος ἤνεγκαν ἑταιρῶν, περὶ ὧν ἐπεξε-

λεύσομαι ὅσον γε δύναμαι, ὅσον ὄχλον εὐανδροῦσα
πόλις οὐκ ἔσχεν. ἀνέγραψε γοῦν Ἀριστοφάνης μὲν
ὁ Βυζάντιος ἑκατὸν καὶ τριάκοντα πέντε, Ἀπολλόδω-
ρος δὲ τούτων πλείους, ὁ Γοργίας δὲ πλέονας, παρα-
λειφθῆναι φάσκοντες ὑπὸ τοῦ Ἀριστοφάνους μετὰ
e ἑταιρῶν πλειόνων καὶ τάσδε, τὴν Πάροινον ἐπικλη-
θεῖσαν καὶ Λαμπυρίδα καὶ Εὐφροσύνην· αὕτη δὲ ἦν
γναφέως θυγάτηρ. ἄγραφοι δ' εἰσὶν αὐτῷ Μεγίστη
Ἀγαλλὶς Θαυμάριον Θεόκλεια (αὕτη δ' ἐπεκαλεῖτο
κορώνη) Ληναιτόκυστος Ἄστρα Γνάθαινα καὶ ταύτης
θυγατριδῆ Γναθαίνιον, καὶ Σιγὴ καὶ Συνωρὶς ἡ
λύχνος ἐπικαλουμένη καὶ Εὔκλεια καὶ Γρυμαία καὶ
Θρυαλλίς, ἔτι Χίμαιρα καὶ Λαμπάς. τῆς δὲ Γναθαί-
νης ἤρα δεινῶς, ὡς καὶ πρότερον εἴρηται, Δίφιλος ὁ
κωμῳδιοποιός, ὡς καὶ Λυγκεὺς ὁ Σάμιος ἐν τοῖς ἀπο-
f μνημονεύμασιν ἱστορεῖ. ἐν ἀγῶνι οὖν ποτε αὐτὸν
ἀσχημονήσαντα σφόδρα ἀρθῆναι ἐκ τοῦ θεάτρου
συνέβη καὶ οὐδὲν ἧττον ἐλθεῖν πρὸς τὴν Γνάθαιναν.
κελεύοντος οὖν τοῦ Διφίλου ὑπονίψαι τοὺς πόδας
αὐτοῦ τὴν Γνάθαιναν, ἡ δέ 'τί γάρ, εἶπεν, οὐκ ἠρ-
μένος ἥκεις;' σφόδρα δ' ἦν εὔθικτος πρὸς τὰς ἀπο-
κρίσεις ἡ Γνάθαινα. καὶ ἄλλαι δὲ ἑταῖραι μέγα ἐφρό-
νουν ἐφ' αὑταῖς παιδείας ἀντεχόμεναι καὶ τοῖς μα-
θήμασι χρόνον ἀπομερίζουσαι· διόπερ καὶ εὔθικτοι
584 πρὸς τὰς ἀπαντήσεις ἦσαν. κατηγοροῦντος γοῦν
ποτε Στίλπωνος Γλυκέρας παρὰ πότον ὡς διαφθει-
ρούσης τοὺς νέους, ὥς φησι Σάτυρος ἐν τοῖς βίοις,
ὑποτυχοῦσα ἡ Γλυκέρα 'τὴν αὐτήν, ἔφη, ἔχομεν
αἰτίαν, ὦ Στίλπων. σέ τε γὰρ λέγουσι διαφθείρειν
τοὺς συντυγχάνοντάς σοι ἀνωφελῆ καὶ ἐρωτικὰ
σοφίσματα διδάσκοντα, ἐμέ τε ὡσαύτως. μηδὲν οὖν
διαφέρειν ἐπιτριβομένοις καὶ κακῶς πάσχουσιν ἢ

μετὰ φιλοσόφου ζῆν ἢ ἑταίρας.᾽ κατὰ γὰρ τὸν Ἀγάθωνα

γυνή τοι σώματος δι᾽ ἀργίαν
ψυχῆς φρόνησιν ἐντὸς οὐκ ἀργὸν φορεῖ. b

47. Γναθαίνης δὲ πολλὰς ἀποκρίσεις ἀνέγραψεν ὁ Λυγκεύς. παρασίτου γάρ τινος ὑπὸ γραὸς τρεφομένου καὶ τὸ σῶμα εὖ ἔχοντος ʻχαριέντως γ᾽, ἔφη, ὦ νεανίσκε τὸ σωμάτιον διάκεισαι.᾽ ʻτί οὖν οἴει, εἰ μὴ ἐδευτεροκοίτουν;᾽ ʻτῷ λιμῷ ἄν, ἔφη, ἀπέθανες.᾽ Παυσανίου δὲ τοῦ Λάκκου ὀρχουμένου καὶ εἴς κάδον τινὰ ἐμπεσόντος ʻὁ λάκκος, ἔφη, εἰς τὸν κάδον ἐμπέπτωκεν.᾽ ἐπιδόντος δέ τινος οἶνον ἐν ψυκτηριδίῳ μικρὸν καὶ εἰπόντος ὅτι ἑκκαιδεκαέτης ʻμικρός γε, c ἔφη, ὡς τοσούτων ἐτῶν.᾽ νεανίσκων δὲ τινῶν παρὰ πότον ὑπὲρ αὐτῆς τυπτόντων ἑαυτοὺς ἔφη πρὸς τὸν ἡττώμενον ʻθάρρει παιδίον· οὐ γὰρ στεφανίτης ὁ ἀγών ἐστιν ἀλλ᾽ ἀργυρίτης.᾽ ὡς δ᾽ ὁ τὴν μνᾶν τῇ θυγατρὶ δοὺς αὐτῆς οὐδὲν ἔτι ἔφερεν ἀλλ᾽ ἐφοίτα μόνον ʻπαιδίον, ἔφη, ὥσπερ πρὸς Ἱππόμαχον τὸν παιδοτρίβην μνᾶν δοὺς οἴει ἀεὶ φοιτήσειν;᾽ Φρύνης δὲ πικρότερον εἰπούσης αὐτῇ ʻεἰ δὲ λίθον εἶχες᾽ ἔφη ʻἀποψήσασθαι ἄν σοι ἔδωκα.᾽ ἐτύγχανε δὲ ἣ μὲν αἰτίαν ἔχουσα λιθιᾶν ἣ δὲ κοιλίαν προπετεστέραν d ἔχειν. τῶν δὲ πινόντων παρ᾽ αὐτῇ βαλλομένων εἰς βολβοφακῆν, καὶ τῆς παιδίσκης ἐν τῷ καθαίρειν εἰς τὸν κόλπον ἐμβαλλομένης τῶν φακῶν, ἡ Γνάθαινα ἔφη ʻκολποφακῆν διανοεῖται ποιεῖν.᾽ Ἀνδρονίκου δὲ τοῦ τραγῳδοῦ ἀπ᾽ ἀγῶνός τινος, ἐν ᾧ τοὺς Ἐπιγόνους εὐημερήκει, πίνειν μέλλλοντος παρ᾽ αὐτῇ καὶ τοῦ παιδὸς κελεύοντος τὴν Γνάθαιναν προαναλῶσαι,

ὀλόμενε παίδων (ἔφη) ποῖον εἴρηκας λόγον;

πρὸς δὲ ἀδολέσχην τινὰ διηγούμενον ὅτι παραγέγο-

e νεν ἀφ' Ἑλλησπόντου 'πῶς οὖν, φησίν, εἰς τὴν πρώτην πόλιν οὐχ ἧκες τῶν ἐκεῖ;' τοῦ δ' εἰπόντος 'εἰς ποίαν;' 'εἰς Σίγειον' εἶπεν. εἰσελθόντος δέ τινος ὡς αὐτὴν καὶ ἰδόντος ἐπί τινος ἀγγείου ᾠὰ εἰπόντος τε 'ὠμὰ ταῦτα Γνάθαινα ἢ ἑφθά;' 'ἔγχαλκα, ἔφη, παιδίον.' Χαιρεφῶντος δὲ ἀκλήτου ἐπὶ δεῖπνον ἐλθόντος προπιοῦσα ποτήριον αὐτῷ ἡ Γνάθαινα 'λαβέ, ἔφησεν, ὑπερήφανε.' καὶ ὅς 'ἐγὼ ὑπερήφανος;' 'τίς δὲ μᾶλλον, εἶπεν ἡ Γνάθαινα, ὃς οὐδὲ καλούμενος ἔρχῃ;' Νικὼ δὲ ἡ αἲξ ἐπικαλουμένη, φησίν ὁ Λυγ-
f κεύς, παρασίτου τινὸς ἀπαντήσαντος λεπτοῦ ἐξ ἀρρωστίας 'ὡς ἰσχνός' ἔφη. 'τί γὰρ οἴει με ἐν τρισὶν ἡμέραις καταβεβρωκέναι;' 'ἤτοι τὴν λήκυθον, ἔφη, ἢ τὰ ὑποδήματα.'

48. Μετάνειρα δὲ ἡ ἑταίρα, Δημοκλέους τοῦ παρασίτου Λαγυνίωνος ἐπίκλην καταπεσόντος ἔν τινι κονιάματι 'καὶ γὰρ σύ, φησί, σαυτὸν ἔδωκας οὗ ψῆφοι εἰσίν.' διαπηδῶντος δ' αὐτοῦ ἐπὶ τὴν πλησίον
585 κλίνην 'πρόσεχε, φησί, μὴ ἀνατραπῇς.' τοῦτο ἱστορεῖ Ἡγήσανδρος. Ἀριστόδημος δ' ἐν δευτέρῳ γελοίων ἀπομνημονευμάτων, Γνάθαιναν, φησί, δύο ἐμισθώσαντο, στρατιώτης καὶ μαστιγίας· ἀναγωγότερον οὖν τοῦ στρατιώτου λάκκον αὐτὴν εἰπόντος 'πῶς, ἔφησεν, ἢ ὅτι δύο ποταμοὶ ἐμβάλλετέ μοι, Λύκος καὶ Ἐλεύθερος;' ἐπὶ δὲ τὴν θυγατέρα τῆς Γναθαίνης πτωχῶν ἐραστῶν κωμαζόντων καὶ ἀπειλούντων κατασκάψειν τὴν οἰκίαν, ἐνηνοχέναι γὰρ δικέλλας καὶ ἅμας, 'εἰ ταῦτ' εἴχεθ' ὑμεῖς, εἶπεν ἡ Γνάθαινα, ἐνέχυρα θέν-
b τες τὸ μίσθωμα ἂν ἀπεστείλατε.' ἐμμελὴς δὲ ἦν πάνυ ἡ Γνάθαινα καὶ οὐκ ἀνάστειος ἀποφθέγξασθαι· ἥτις καὶ νόμον συσσιτικὸν συνέγραψε καθ' ὃν ἔδει τοὺς ἐραστὰς ὡς αὐτὴν καὶ τὴν θυγατέρα εἰσιέναι, κατὰ

ζῆλον τῶν τὰ τοιαῦτα συνταξαμένων φιλοσόφων. ἀνέγραψε δ' αὐτὸν Καλλίμαχος ἐν τῷ τρίτῳ πίνακι τῶν νόμων καὶ ἀρχὴν αὐτοῦ τήνδε παρέθετο 'ὧδε ὁ νόμος ἴσος ἐγράφη καὶ ὅμοιος. στίχων τριακοσίων εἴκοσι τριῶν.'

49. Καλλίστιον δὲ τὴν ἐπικληθεῖσαν Πτωχελένην μαστιγίας ἐμισθώσατο. θέρους δὲ ὄντος ἐπεὶ γυμνὸς c κατέκειτο, τοὺς τύπους τῶν πληγῶν ἰδοῦσα 'πόθεν οὗτοι τάλαν;' εἶπε. καὶ ὃς 'παιδὸς ὄντος μου ζωμὸς κατεχύθη.' ἣ δέ 'δηλαδὴ μόσχειος.' Μενάνδρῳ τῷ ποιητῇ δυσημερήσαντι καὶ εἰσελθόντι εἰς τὴν οἰκίαν Γλυκέρα προσενέγκασα γάλα παρεκάλει ῥοφῆσαι· ὃ δέ 'οὐ θέλω' εἶπεν. ἦν γὰρ ἐφεστηκυῖα γραῦς αὐτῷ. ἣ δέ 'ἀποφύσα καὶ τῷ κάτω χρῶ.' Θαίς, ἐραστοῦ τινος αὐτῆς ἀλαζόνος παρὰ πολλῶν ποτήρια χρησαμένου, καὶ λέγοντος θέλειν ταῦτα συγκόψαι ἄλλα δὲ d κατασκευάσαι 'ἀπολεῖς, ἔφη, ἑκάστου τὸ ἴδιον.' Λεόντιον κατακειμένη μετ' ἐραστοῦ, ἐπεισελθούσης εἰς τὸ συμπόσιον Γλυκέρας καὶ τοῦ ἐραστοῦ αὐτῆς ταύτῃ μᾶλλον προσέχοντος, κατάστυγνος ἦν. ὡς δ' ἐπιστρέψας ὁ γνώριμος αὐτὴν ἠρώτησε τί λυπεῖται, 'ἡ ὑστέρα με λυπεῖ' ἔφη. πρὸς Λαίδα τὴν Κορινθίαν ἐραστὴς ἀποσφράγισμα πέμψας ἐκέλευε παραγίνεσθαι. ἣ δ' 'οὐ δύναμαι, εἶπε· πηλός ἐστι.' Θαὶς πρὸς e γράσωνα πορευομένη ἐραστήν, ἐπεί τις αὐτὴν ἠρώτα ποῖ πορεύεται, εἶπεν

Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.

Φρύνη συνδειπνοῦσά ποτε γράσωνι ἄρασα φορίνην 'λαβέ, εἶπε, καὶ κατάτραγε.' πέμψαντος δέ τινος αὐτῇ τῶν γνωρίμων οἶνον χρηστὸν μὲν ὀλίγον δέ, καὶ λέγοντος ὅτι δεκαέτης ἐστί, 'μικρὸς ὡς πολλῶν ἐτῶν' ἔφη. ζητουμένου δὲ ἔν τινι συμποσίῳ διὰ τίνα αἰτίαν

οἱ στέφανοι κρήμανται, εἶπεν ‘ὅτι ψυχαγωγοῦσι.’
f μαστιγίου δέ τινος μειρακιευομένου πρὸς αὐτὴν καὶ
φαμένου πολλαῖς συμπεπλέχθαι, καθ’ ὑπόκρισιν
ἐσκυθρώπασεν. ἐπερωτήσαντος δὲ τὴν αἰτίαν ‘ὀρ-
γίζομαί σοι, εἶπεν, ὅτι πολλὰς ἔχεις.’ φιλάργυρος δέ
τις ἐραστὴς ὑποκοριζόμενος αὐτὴν εἶπεν ‘Ἀφροδίσιον
εἶ Πραξιτέλους.’ ἡ δέ ‘σὺ δ’ Ἔρως Φειδίου.’

50. ἐπεὶ δὲ καὶ τῶν πολιτικῶν οἶδά τινας μνη-
μονεύοντας αὐτῶν, ἢ κατηγοροῦντας ἢ ἀπολογουμέ-
νους, μνησθήσομαι καὶ τούτων. Δημοσθένης μὲν γὰρ
ἐν τῷ κατὰ Ἀνδροτίωνος Σινώπης μέμνηται καὶ Φα-
586 νοστράτης. καὶ περὶ μὲν τῆς Σινώπης Ἡρόδικος ὁ
κρατήτειος ἐν ἕκτῳ κωμῳδουμένων φησὶν ὅτι Ἄβυδος
ἐλέγετο διὰ τὸ γραῦς εἶναι. μνημονεύει δ’ αὐτῆς
Ἀντιφάνης ἐν Ἀρκάδι καὶ ἐν Κηπουρῷ ἐν Ἀκεστρίᾳ
ἐν Ἁλιευομένῃ ἐν Νεοττίδι καὶ Ἄλεξις ἐν Κλεοβου-
λίνῃ καὶ Καλλικράτης ἐν Μοσχίωνι. περὶ δὲ τῆς Φα-
νοστράτης Ἀπολλόδωρός φησιν ἐν τῷ περὶ τῶν Ἀθή-
νησιν ἑταιρίδων ὅτι φθειροπύλη ἐπεκαλεῖτο, ἐπειδή-
περ ἐπὶ τῆς θύρας ἑστῶσα ἐφθειρίζετο. Ὑπερείδης δὲ
ἐν τῷ κατὰ Ἀρισταγόρας φησί ‘καὶ πάλιν τὰς ἀφύας
b καλουμένας τὸν αὐτὸν τρόπον ἐκαλέσατε.’ ἑταιρῶν
ἐπωνυμία αἱ ἀφύαι, περὶ ὧν ὁ προειρημένος Ἀπολ-
λόδωρός φησι ‘Σταγόνιον καὶ Ἄνθις ἀδελφαί. αὗται
ἀφύαι ἐκαλοῦντο, ὅτι καὶ λευκαὶ καὶ λεπταὶ οὖσαι
τοὺς ὀφθαλμοὺς μεγάλους εἶχον.’ Ἀντιφάνης δ’ ἐν
τῷ περὶ ἑταιρῶν Νικοστρατίδα φησὶν ἀφύην κληθῆ-
ναι διὰ τὴν αὐτὴν αἰτίαν. ὁ δ’ αὐτὸς Ὑπερείδης ἐν
τῷ κατὰ Μαντιθέου αἰκίας περὶ Γλυκέρας τάδε λέγει
‘Ἄγων Γλυκέραν τε τὴν Θαλασσίδος, ξεῦγος ἔχων.’
c ἄδηλον εἰ αὕτη ἐστὶν ἡ Ἁρπάλῳ συνοῦσα· περὶ ἧς
φησι Θεόπομπος ἐν τοῖς περὶ τῆς χίας ἐπιστολῆς ὅτι

μετὰ τὸν τῆς Πυθιονίκης θάνατον ὁ Ἅρπαλος μετεπέμψατο τὴν Γλυκέραν Ἀθήνηθεν· ἣν καὶ ἐλθοῦσαν οἰκεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ, καὶ προσκυνεῖσθαι ὑπὸ τοῦ πλήθους βασίλισσαν προσαγορευομένην· ἀπειρῆσθαί τε ἐπὶ πᾶσι μὴ στεφανοῦν Ἅρπαλον, ἐὰν μὴ καὶ Γλυκέραν στεφανῶσιν. ἐν Ῥωσσῷ δὲ καὶ εἰκόνα χαλκῆν αὐτῆς ἱστάναι τολμῆσαι παρὰ τὴν ἑαυτοῦ. τὰ ὅμοια δὲ εἴρηκε καὶ Κλείταρχος ἐν ταῖς περὶ Ἀλέξανδρον ἱστορίαις. ὁ δὲ γράψας τὸν d Ἀγῆνα τὸ σατυρικὸν δραμάτιον, εἴτε Πύθων ἐστὶν ὁ Καταναῖος ἢ αὐτὸς ὁ βασιλεὺς Ἀλέξανδρος, φησί

καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον
αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάττονας
σίτου παραπέμψαι καὶ πολίτην γεγονέναι.
Β. Γλυκέρας ὁ σῖτος οὗτος ἦν· ἔσται δ' ἴσως
αὐτοῖς ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών.

51. Λυσίας δ' ἐν τῷ πρὸς Λαΐδα, εἴ γε γνήσιος ὁ e λόγος, τούτων μνημονεύει 'Φιλύρα γέ τοι ἐπαύσατο πορνευομένη ἔτι νέα οὖσα καὶ Σκιώνη καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ Ψαμάθη καὶ Λαγίσκα καὶ Ἄνθεια.' μήποτε δὲ δεῖ γράφειν ἀντὶ τῆς Ἀνθείας Ἄντειαν. οὐ γὰρ εὑρίσκομεν παρ' οὐδενὶ Ἄνθειαν ἀναγεγραμμένην ἑταίραν, ἀπὸ δὲ Ἀντείας καὶ ὅλον δρᾶμα ἐπιγραφόμενον, ὡς προεῖπον, Εὐνίκου ἢ Φιλυλλίου, Ἄντεια ἐστί. καὶ ὁ τὸν κατὰ Νεαίρας δὲ λόγον γράψας μνημονεύει αὐτῆς. ἐν δὲ τῷ κατὰ Φιλωνίδου βιαίων ὁ Λυσίας, εἰ γνήσιος ὁ λόγος, καὶ f Ναΐδος τῆς ἑταίρας μέμνηται· κἀν τῷ πρὸς Μέδοντα ψευδομαρτυριῶν Ἀντικύρας. ἐπώνυμον δέ ἐστι τοῦτο ἑταίρας· τὸ γὰρ κύριον ἦν Οἴα, ὡς Ἀντιφάνης εἴρηκεν ἐν τῷ περὶ ἑταιρῶν, Ἀντικύραν αὐτὴν φάσκων κληθῆναι, ἤτοι ὅτι συνέπινε παρακινοῦσι καὶ με-

μηνόσιν ἢ ὅτι αὐτὴν ἀναλαβὼν ὁ ἰατρὸς Νικόστρατος ἀποθνήσκων κατέλιπεν αὐτῇ πολὺν ἐλλέβορον, ἄλλο δὲ οὐδέν. καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους Εἰρηνίδος ἑταίρας μέμνηται ὡς ἑταιρούσης τῷ
587 Λεωκράτει. Ναννίου δὲ Ὑπερείδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους. αὕτη δὲ ὅτι αἲξ ἐπεκαλεῖτο προείπομεν διὰ τὸ Θαλλὸν τὸν κάπηλον ἐξαναλῶσαι. ὅτι δὲ θαλλῷ χαίρουσιν αἱ αἶγες, διόπερ οὐδ' εἰς ἀκρόπολιν ἀνιεῖσι τὸ ζῷον, οὐδ' ὅλως Ἀθηνᾷ θύεται διὰ τοῦτο, ἄλλος ἔσται λόγος. ἀλλ' ὅ γε Σοφοκλῆς ἐν Ποιμέσιν ὅτι θαλλοφαγεῖ τὸ ζῷον φησὶν οὕτως

ἑωθινὸς γὰρ πρίν τιν' αὐλιτῶν ὁρᾶν
θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα,
b εἶδον στρατὸν στείχοντα παραλίαν ἄκραν.

μνημονεύει τῆς Ναννίου καὶ Ἄλεξις ἐν Ταραντίνοις οὕτως

Νάννιον δὲ μαίνεται
ἐπὶ τῷ Διονύσῳ,

κωμῳδῶν αὐτὴν ὡς μέθυσον. Μένανδρος δ' ἐν Ψευδηρακλεῖ φησιν

οὐκ ἐπεῖρα Νάννιον;

Ἀντιφάνης δ' ἐν τῷ περὶ ἑταιρῶν 'προσκήνιον (φησὶν) ἐπεκαλεῖτο ἡ Νάννιον, ὅτι πρόσωπόν τε ἀστεῖον εἶχε καὶ ἐχρῆτο χρυσίοις καὶ ἱματίοις πολυτελέσι, ἐκδῦσα δὲ ἦν αἰσχροτάτη. ἦν δὲ Κορώνη τῆς Ναννίου θυγάτηρ, τὸ τῆς τήθης ἀναφέρουσα ἐκ τριπορνείας
c ὄνομα.' καὶ Νεμεάδος δὲ τῆς αὐλητρίδος Ὑπερείδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους. περὶ ἧς ἄξιον θαυμάζειν πῶς περιεῖδον Ἀθηναῖοι οὕτω προσαγορευομένην τὴν πόρνην πανηγύρεως ἐνδοξοτάτης ὀνόματι κεχρημένην· ἐκεκώλυτο γὰρ τὰ τοιαῦτα τίθεσθαι ὀνόματα οὐ μόνον ταῖς ἑταιρούσαις, ἀλλὰ καὶ

ταῖς ἄλλαις δούλαις, ὥς φησι Πολέμων ἐν τοῖς περὶ ἀκροπόλεως.

52. καὶ Ὠκίμου δὲ τῆς ἐμῆς, ὡς σὺ φὴς Κύνουλκε, καὶ Ὑπερείδης μέμνηται ἐν τῷ κατὰ Ἀρισταγόρας δευτέρῳ λέγων οὕτως 'ὥστε Λαὶς μὲν ἡ δοκοῦσα τῶν d πώποτε διενηνοχέναι τὴν ὄψιν καὶ Ὤκιμον καὶ Μετάνειρα.' Νικόστρατος δὲ ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Πανδρόσῳ οὑτωσὶ λέγων

ἔπειτα τῆς αὐτῆς ὁδοῦ
πρὸς Ἀερόπην ἐλθοῦσα πέμψαι στρώματα
αὐτὴν κέλευε, φησί, καὶ παρ' Ὤκιμον
χαλκώματα.

Μένανδρος δ' ἐν Κόλακι τάσδε καταλέγει ἑταίρας

Χρυσίδα Κορώνην Ἀντίκιρραν Ἰσχάδα e
καὶ Ναννάριον ἔσχηκας ὡραίας σφόδρα.

Φιλέταιρος ἐν Κυναγίδι

οὐχὶ Κερκώπη μὲν ἤδη γέρον' ἔτη τρισχίλια,
ἡ δὲ Διοπείθους ἀειδὴς Τέλεσις ἕτερα μυρία;
Θεολύτην δ' οὐκ οἶδεν οὐδεὶς ὅτε τὸ πρῶτον
ἐγένετο.
οὐχὶ Λαὶς μὲν τελευτῶσ' ἀπέθανεν βινουμένη;
Ἰσθμιὰς δὲ καὶ Νέαιρα κατασέσηπε καὶ Φίλα;
Κοσσύφας δὲ καὶ Γαλήνας καὶ Κορώνας οὐ λέγω· f
περὶ δὲ Ναΐδος σιωπῶ, γομφίους γὰρ οὐκ ἔχει.

Θεόφιλος Φιλαύλῳ

τοῦ μή ποτ' αὐτὸν ἐμπεσεῖν εἰς Λαΐδα
φερόμενον, ἢ Μηκωνίδ' ἢ Σισύμβριον
ἢ Βάραθρον ἢ Θάλλουσαν ἢ τούτων τινά,
ὧν ἐμπλέκουσι τοῖς λίνοις αἱ μαστροποί . . .
[ἢ Νάννιον ἢ Μαλθάκην.]

53. τοσαῦτ' εἰπὼν μετά τινος τροχιλίας ὁ Μυρτίλος, μή τι τοιοῦτον ὑμεῖς οἱ φιλόσοφοι, ἔφη, οἱ 588

*καὶ πρὸ τῶν ἡδονικῶν καλουμένων αὐτοὶ τὸν τῆς ἡδονῆς τοῖχον ὑποσκάπτοντες, ὥς που ὁ Ἐρατοσθένης φησί. κἀμοὶ μὲν τὰ καλὰ τῶν ἑταιρῶν ἀποφθέγματα πεπεράνθω μέχρι τούτων· ἐπ᾽ ἄλλο δ᾽ εἶδος μεταβήσομαι λόγων. καὶ πρῶτόν γε μνησθήσομαι τοῦ φιλαληθεστάτου Ἐπικούρου· ὅστις ἐγκυκλίου παιδείας ἀμύητος ὢν ἐμακάριζε καὶ τοὺς ὁμοίως αὐτῷ ἐπὶ φιλοσοφίαν παρερχομένους, τοιαύτας φωνὰς προϊέμενος ‘μακαρίζω σε, ὦ οὗτος, ὅτι καθαρὸς πάσης* b *αἰτίας ἐπὶ φιλοσοφίαν ὥρμησας.’ ὅθεν αὐτὸν καὶ ὁ Τίμων φησί*

*γραμμοδιδασκαλίδην ἀναγωγότατον ζωόντων.*

*οὗτος οὖν ὁ Ἐπίκουρος οὐ Λεόντιον εἶχεν ἐρωμένην τὴν ἐφ᾽ ἑταιρείᾳ διαβόητον γενομένην; ἣ δὲ οὐδ᾽ ὅτε φιλοσοφεῖν ἤρξατο ἐπαύσατο ἑταιροῦσα, πᾶσί τε τοῖς ἐπικουρείοις συνῆν ἐν τοῖς κήποις, Ἐπικούρῳ δὲ καὶ ἀναφανδόν· ὥστ᾽ ἐκεῖνον πολλὴν φροντίδα ποιούμενον αὐτῆς τοῦτ᾽ ἐμφανίζειν διὰ τῶν πρὸς Ἕρμαρχον ἐπιστολῶν.*

54. *Λαΐδος τε τῆς ἐξ Ὑκάρων (πόλις δ᾽ αὕτη Σι-* c *κελική, ἀφ᾽ ἧς αἰχμάλωτος γενομένη ἧκεν εἰς Κόρινθον, ὡς ἱστορεῖ Πολέμων ἐν τῷ ἕκτῳ τῶν πρὸς Τίμαιον· ἧς καὶ Ἀρίστιππος ἤρα καὶ Δημοσθένης ὁ ῥήτωρ Διογένης τε ὁ κύων· ᾗ καὶ Ἀφροδίτη ἡ ἐν Κορίνθῳ ἡ Μελαινὶς καλουμένη νυκτὸς ἐπιφαινομένη ἐμήνυεν ἐραστῶν ἔφοδον πολυταλάντων) οὐχ Ὑπερείδης μνημονεύει ἐν τῷ κατὰ Ἀρισταγόρας δευτέρῳ; Ἀπελλῆς δὲ ὁ ζωγράφος ἔτι παρθένον οὖσαν τὴν Λαΐδα θεασάμενος ἀπὸ τῆς Πειρήνης ὑδροφοροῦσαν καὶ θαυμάσας τὸ κάλλος ἤγαγέ ποτε αὐτὴν εἰς φίλων* d *συμπόσιον. χλευασάντων δ᾽ αὐτὸν τῶν ἑταίρων ὅτι ἀνθ᾽ ἑταίρας παρθένον εἰς τὸ συμπόσιον ἀγάγοι ‘μὴ*

θαυμάσητε, εἶπεν, ἐγὼ γὰρ αὐτὴν εἰς μέλλουσαν
ἀπόλαυσιν μετ᾽ οὐδ᾽ ὅλην τριετίαν ἱκανὴν δείξω.᾽ τὸ
δ᾽ αὐτὸ καὶ Σωκράτης ἐμαντεύσατο περὶ Θεοδότης
τῆς Ἀθηναίας, ὥς φησι Ξενοφῶν ἐν Ἀπομνημονεύ-
μασιν ʽὅτι δὲ καλλίστη εἴη καὶ στέρνα κρείττω λόγου
παντὸς ἔχοι ἔλεγέ τις. ἰτέον ἡμῖν, ἔφη, θεασομένοις
τὴν γυναῖκα· οὐ γὰρ δὴ ἀκούσασιν ἔστι κρῖναι τὸ
κάλλος.᾽ οὕτω δ᾽ ἦν ἡ Λαῒς καλὴ ὡς καὶ τοὺς ζωγρά-
φους ἐρχομένους πρὸς αὐτὴν ἀπομιμεῖσθαι τῆς γυ- e
ναικὸς τοὺς μαστοὺς καὶ τὰ στέρνα. διαζηλοτυπου-
μένη δέ ποτε ἡ Λαῒς Φρύνῃ πολὺν ἐραστῶν ἔσχηκεν
ὅμιλον, οὐ διακρίνουσα πλούσιον ἢ πένητα οὐδ᾽ ὑβρι-
στικῶς αὐτοῖς χρωμένη.

55. Ἀρίστιππος δὲ κατ᾽ ἔτος συνδιημέρευεν αὐτῇ
ἐν Αἰγίνῃ τοῖς ποσειδωνίοις· καὶ ὀνειδιζόμενος ὑπὸ
οἰκείου ὅτι ʽσὺ μὲν αὐτῇ τοσοῦτον ἀργύριον δίδως,
ἡ δὲ προῖκα Διογένει τῷ κυνὶ συγκυλίεται,᾽ ἀπε-
κρίνατο ʽἐγὼ Λαΐδι χορηγῶ πολλὰ ἵνα αὐτὸς αὐτῆς
ἀπολαύω, οὐχ ἵνα μὴ ἄλλος.᾽ τοῦ δὲ Διογένους f
εἰπόντος αὐτῷ ʽὦ Ἀρίστιππε, κοινῇ συνοικεῖς πόρνῃ·
ἢ κύνιζε οὖν ὡς ἐγὼ ἢ πέπαυσο.᾽ καὶ ὁ Ἀρίστιππος
ʽἆρά γε μή τί σοι ἄτοπον δοκεῖ εἶναι, Διόγενες, οἰκίαν
οἰκεῖν ἐν ᾗ πρότερον ᾤκησαν ἄλλοι;᾽ ʽοὐ γάρ.᾽ ʽτί δαί;
ναῦν ἐν ᾗ πολλοὶ πεπλεύκασιν;᾽ ʽοὐδὲ τοῦτο᾽ ἔφη.
ʽοὕτως οὖν οὐδὲ γυναικὶ συνεῖναι ἄτοπόν ἐστιν ᾗ
πολλοὶ κέχρηνται.᾽ Νυμφόδωρος δ᾽ ὁ Συρακόσιος ἐν
τῷ περὶ τῶν ἐν Σικελίᾳ θαυμαζομένων ἐξ Ὑκάρου 589
φησὶ σικελικοῦ φρουρίου εἶναι τὴν Λαΐδα. Στράττις
δ᾽ ἐν Μακεδόσιν ἢ Παυσανίᾳ Κορινθίαν αὐτὴν εἶναί
φησι διὰ τούτων

εἰσὶν δὲ πόθεν αἱ παῖδες αὗται καὶ τίνες;
Β. νυνὶ μὲν ἥκουσιν Μεγαρόθεν, εἰσὶ δὲ

*Κορίνθιαι· Λαὶς μὲν ἠδὶ Μεγακλέους.*
*Τίμαιος δ' ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἱστοριῶν ἐξ*
*Ὑκάρων· καθὰ καὶ Πολέμων εἴρηκεν, ἀναιρεθῆναι*
*φάσκων αὐτὴν ὑπό τινων γυναικῶν ἐν Θετταλίᾳ,*
*ἐρασθεῖσάν τινος Παυσανίου Θετταλοῦ, κατὰ φθόνον*
b *καὶ δυσζηλίαν ταῖς ξυλίναις χελώναις τυπτομένην ἐν*
*Ἀφροδίτης ἱερῷ. διὸ καὶ τὸ τέμενος κληθῆναι ἀνο-*
*σίας Ἀφροδίτης. δείκνυσθαι δ' αὐτῆς τάφον παρὰ*
*τῷ Πηνειῷ, σημεῖον ἔχοντα ὑδρίαν λιθίνην καὶ ἐπί-*
*γραμμα τόδε*

*τῆσδέ ποθ' ἡ μεγάλαυχος ἀνίκητός τε πρὸς ἀλκὴν*
*Ἑλλὰς ἐδουλώθη κάλλεος ἰσοθέου,*
*Λαΐδος· ἣν ἐτέκνωσεν Ἔρως θρέψεν δὲ Κόρινθος·*
*κεῖται δ' ἐν κλεινοῖς θεσσαλικοῖς πεδίοις.*

*αὐτοσχεδιάζουσιν οὖν οἱ λέγοντες αὐτὴν ἐν Κορίνθῳ*
c *τεθάφθαι πρὸς τῷ Κρανείῳ.*

56. *Ἀριστοτέλης δ' ὁ Σταγειρίτης οὐκ ἐξ Ἑρπυλλί-*
*δος τῆς ἑταίρας ἐπαιδοποιήσατο Νικόμαχον καὶ συνῆν*
*ταύτῃ μέχρι θανάτου; ὥς φησιν Ἕρμιππος ἐν τῷ περὶ*
*Ἀριστοτέλους πρώτῳ, ἐπιμελείας φάσκων τῆς δεού-*
*σης τετυχηκέναι ἐν ταῖς τοῦ φιλοσόφου διαθήκαις.*
*ὁ δὲ καλὸς ἡμῶν Πλάτων οὐκ Ἀρχεάνασσαν τὴν Κο-*
*λοφωνίαν ἑταίραν ἠγάπα; ὡς καὶ ᾄδειν εἰς αὐτὴν*
*τάδε*

*Ἀρχεάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίρην,*
*ἧς καὶ ἐπὶ ῥυτίδων πικρὸς ἔπεστιν ἔρως.*
d *ἆ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης*
*πρωτοπόρου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.*

*Περικλῆς δὲ ὁ ὀλύμπιος, ὥς φησι Κλέαρχος ἐν πρώ-*
*τῳ Ἐρωτικῶν, οὐχ ἕνεκεν Ἀσπασίας τῆς νεωτέρας*
*ἀλλὰ τῆς Σωκράτει τῷ σοφῷ συγγενομένης, καί περ*
*τηλικοῦτον ἀξίωμα συνέσεως καὶ πολιτικῆς δυνάμεως*

κτησάμενος, οὐ συνετάραξε πᾶσαν τὴν Ἑλλάδα; ἦν
δ' οὗτος ἀνὴρ πρὸς ἀφροδίσια πάνυ καταφερής·
ὅστις καὶ τῇ τοῦ υἱοῦ γυναικὶ συνῆν, ὡς Στησίμβρο-
τος ὁ Θάσιος ἱστορεῖ, κατὰ τοὺς αὐτοὺς αὐτῷ χρόνους e
γενόμενος καὶ ἑορακὼς αὐτόν, ἐν τῷ ἐπιγραφομένῳ
περὶ Θεμιστοκλέους καὶ Θουκυδίδου καὶ Περικλέους.
Ἀντισθένης δὲ ὁ σωκρατικὸς ἐρασθέντα φησὶν αὐτὸν
Ἀσπασίας δὶς τῆς ἡμέρας εἰσιόντα καὶ ἐξιόντα ἀπ'
αὐτῆς ἀσπάζεσθαι τὴν ἄνθρωπον, καὶ φευγούσης
ποτὲ αὐτῆς γραφὴν ἀσεβείας λέγων ὑπὲρ αὐτῆς
πλείονα ἐδάκρυσεν ἢ ὅτε ὑπὲρ τοῦ βίου καὶ τῆς οὐ-
σίας ἐκινδύνευσε. καὶ Κίμωνος δ' Ἐλπινίκῃ τῇ
ἀδελφῇ παρανόμως συνόντος εἶθ' ὕστερον ἐκδοθεί- f
σῃ Καλλίᾳ καὶ φυγαδευθέντος μισθὸν ἔλαβε τῆς
καθόδου αὐτοῦ ὁ Περικλῆς τὸ τῇ Ἐλπινίκῃ μιχθῆναι.
Πυθαίνετος ἐν τρίτῳ περὶ Αἰγίνης Περίανδρόν φη-
σιν ἐξ Ἐπιδαύρου τὴν Προκλέους θυγατέρα Μέλισσαν
ἰδόντα πελοποννησιακῶς ἠσθημένην, ἀναμπέχονος
γὰρ καὶ μονοχίτων ἦν καὶ ᾠνοχόει τοῖς ἐργαζομένοις,
ἐρασθέντα γῆμαι. Πύρρου δὲ τοῦ Ἠπειρωτῶν βασι-
λέως, ὃς ἦν τρίτος ἀπὸ Πύρρου τοῦ ἐπ' Ἰταλίαν
στρατεύσαντος, ἐρωμένη ἦν Τίγρις ἡ Λευκαδία· ἣν 590
Ὀλυμπιὰς ἡ τοῦ νεανίσκου μήτηρ φαρμάκοις ἀπέ-
κτεινε.

57. καὶ ὁ Οὐλπιανός, ὥσπερ ἕρμαιόν τι, ἔτι λαλοῦντος τοῦ Μυρτίλου ἔφη, εἰ ἔχομεν ἀρρενικῶς εἰρημένον τὸν τίγριν. Φιλήμονα γὰρ οἶδα τοῦτ' εἰρηκότα ἐν Νεαίρᾳ

ὥσπερ Σέλευκος δεῦρ' ἔπεμψε τὴν τίγριν,
ἣν εἴδομεν ἡμεῖς, τῷ Σελεύκῳ πάλιν ἔδει
ἡμᾶς τι παρ' ἡμῶν ἀντιπέμψαι θηρίον,
τρυγέρανον· οὐ γὰρ γίγνεται τοῦτ' αὐτόθι.

πρὸς ὃν ὁ Μυρτίλος ἔφη, ἐπεί περ ἡμῖν ἐμποδὼν ἐγένου κατάλογον γυναικῶν ποιουμένοις, οὐ κατὰ
b τοὺς Σωσικράτους τοῦ Φαναγορίτου Ἠοίους, ἢ τὸν τῶν γυναικῶν κατάλογον Νικαινέτου τοῦ Σαμίου ἢ Ἀβδηρίτου· μικρὸν ἐπισχὼν ἐπὶ τὴν παρὰ σοῦ τρέψομαι πεῦσιν, Φοίνιξ ἄττα γεραιέ. μάθε οὖν ὅτι ἀρσενικῶς εἴρηκε τὸν τίγριν Ἄλεξις ἐν Πυραύνῳ οὕτως

ἄνοιγ' ἄνοιγε τὴν θύραν· ἐλάνθανον
πάλαι περιπατῶν ἀνδριάς, ἀλέτων ὄνος,
ποτάμιος ἵππος, τοῖχος, ὁ Σελεύκου τίγρις.

ἔχων δὲ καὶ ἄλλα μαρτύρια ἀνατίθεμαι τὰ νῦν, ἕως
c ἂν ἀπομνημονεύσω τὸν περὶ τῶν καλῶν γυναικῶν κατάλογον.

58. Κλέαρχος γὰρ περὶ Ἐπαμινώνδου φησὶν οὕτως 'Ἐπαμινώνδας ὁ Θηβαῖος σεμνότερον μὲν τούτων, οὐκ εὐσχημόνως δὲ περὶ τὰς ὁμιλίας ἐσφάλλετο τὴν γνώμην, εἴ τις θεωροίη τὰ πραχθέντα αὐτῷ περὶ τὴν Λάκωνος γυναῖκα.' Ὑπερείδης δ' ὁ ῥήτωρ ἐκ τῆς πατρῴας οἰκίας τὸν υἱὸν ἀποβαλὼν Γλαύκιππον Μυρρίνην τὴν πολυτελεστάτην ἑταίραν ἀνέλαβε, καὶ ταύτην μὲν ἐν ἄστει εἶχεν, ἐν Πειραιεῖ δὲ Ἀρισταγό-
d ραν, Φίλαν δ' ἐν Ἐλευσῖνι, ἣν πολλῶν ὠνησάμενος χρημάτων εἶχεν ἐλευθερώσας, ὕστερον δὲ καὶ οἰκουρὸν αὐτὴν ἐποιήσατο, ὡς Ἰδομενεὺς ἱστορεῖ. ἐν δὲ τῷ ὑπὲρ Φρύνης λόγῳ Ὑπερείδης ὁμολογῶν ἐρᾶν τῆς γυναικός, καὶ οὐδέπω τοῦ ἔρωτος ἀπηλλαγμένος τὴν προειρημένην Μυρρίνην εἰς τὴν οἰκίαν εἰσήγαγεν.

59. ἦν δὲ ἡ Φρύνη ἐκ Θεσπιῶν. κρινομένη δὲ ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ ἀπέφυγε· διόπερ ὀργισθεὶς ὁ Εὐθίας οὐκ ἔτι εἶπεν ἄλλην δίκην, ὥς φησιν

Ἕρμιππος. ὁ δὲ Ὑπερείδης συναγορεύων τῇ Φρύνῃ, e
ὡς οὐδὲν ἤνυε λέγων ἐπίδοξοί τε ἦσαν οἱ δικασταὶ
καταψηφιούμενοι, παραγαγὼν αὐτὴν εἰς τοὐμφανὲς
καὶ περιρρήξας τοὺς χιτωνίσκους γυμνά τε τὰ στέρνα
ποιήσας τοὺς ἐπιλογικοὺς οἴκτους ἐκ τῆς ὄψεως αὐτῆς
ἐπερρητόρευσε, δεισιδαιμονῆσαί τ' ἐποίησε τοὺς δι-
καστὰς τὴν ὑποφῆτιν καὶ ζάκορον Ἀφροδίτης ἐλέῳ
χρησαμένους μὴ ἀποκτεῖναι. καὶ ἀφεθείσης ἐγράφη
μετὰ ταῦτα ψήφισμα μηδένα οἰκτίζεσθαι τῶν λεγόν-
των ὑπέρ τινος, μηδὲ βλεπόμενον τὸν κατηγορούμε-
νον ἢ τὴν κατηγορουμένην κρίνεσθαι. ἦν δὲ ὄντως f
μᾶλλον ἡ Φρύνη καλὴ ἐν τοῖς μὴ βλεπομένοις. διό-
περ οὐδὲ ῥᾳδίως ἦν αὐτὴν ἰδεῖν γυμνήν· ἐχέσαρκον
γὰρ χιτώνιον ἠμπείχετο καὶ τοῖς δημοσίοις οὐκ ἐχρῆτο
βαλανείοις. τῇ δὲ τῶν ἐλευσινίων πανηγύρει καὶ τῇ
τῶν ποσειδωνίων ἐν ὄψει τῶν Πανελλήνων πάντων
ἀποθεμένη θαἱμάτια καὶ λύσασα τὰς κόμας ἐνέβαινε
τῇ θαλάττῃ· καὶ ἀπ' αὐτῆς Ἀπελλῆς τὴν ἀναδυομέ-
νην Ἀφροδίτην ἀνεγράψατο. καὶ Πραξιτέλης δὲ 591
ὁ ἀγαλματοποιὸς ἐρῶν αὐτῆς τὴν κνιδίαν Ἀφροδίτην
ἀπ' αὐτῆς ἐπλάσατο, καὶ ἐν τῇ τοῦ Ἔρωτος βάσει τῇ
ὑπὸ τὴν σκηνὴν τοῦ θεάτρου ἐπέγραψε

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν ἔρωτα,
  ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ. φίλτρα δὲ βάλλω
  οὐκ ἔτ' ὀιστεύων ἀλλ' ἀτενιζόμενος.

ἐκλογήν τε αὐτῇ τῶν ἀγαλμάτων ἔδωκεν, εἴτε τὸν b
ἔρωτα θέλοι λαβεῖν εἴτε τὸν ἐπὶ τριπόδων σάτυρον.
ἣ δὲ ἑλομένη τὸν Ἔρωτα ἀνέθηκεν αὐτὸν ἐν Θεσπι-
αῖς. αὐτῆς δὲ τῆς Φρύνης οἱ περικτίονες ἀνδριάντα
ποιήσαντες ἀνέθηκαν ἐν Δελφοῖς χρύσεον ἐπὶ κίονος
πεντελικοῦ (κατεσκεύασε δ' αὐτὸν Πραξιτέλης), ὃν

καὶ θεασάμενος Κράτης ὁ κυνικὸς ἔφη τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνάθημα. ἕστηκε δὲ καὶ ἡ εἰκὼν αὕτη μέση τῆς Ἀρχιδάμου τοῦ Λακεδαιμονίων βασι-
c λέως καὶ τῆς Φιλίππου τοῦ Ἀμύντου, ἔχουσα ἐπιγραφὴν ΦΡΥΝΗ ΕΠΙΚΛΕΟΥΣ ΘΕΣΠΙΚΗ, ὥς φησιν Ἀλκέτας ἐν δευτέρῳ περὶ τῶν ἐν Δελφοῖς ἀναθημάτων.

60. Ἀπολλόδωρος δ' ἐν τῷ περὶ ἑταιρῶν δύο ἀναγράφει Φρύνας γεγονέναι, ὧν τὴν μὲν ἐπικαλεῖσθαι κλαυσιγέλωτα τὴν δὲ σαπέρδιον. Ἡρόδικος δὲ ἐν ἕκτῳ Κωμῳδουμένων τὴν μὲν παρὰ τοῖς ῥήτορσί φησιν ὀνομαζομένην Σηστὸν καλεῖσθαι διὰ τὸ ἀποσήθειν καὶ ἀποδύειν τοὺς συνόντας αὐτῇ, τὴν δὲ
d Θεσπικήν. ἐπλούτει δὲ σφόδρα ἡ Φρύνη καὶ ὑπισχνεῖτο τειχιεῖν τὰς Θήβας, ἐὰν ἐπιγράφωσι Θηβαῖοι ὅτι ΑΛΕΞΑΝΔΡΟΣ ΜΕΝ ΚΑΤΕΣΚΑΨΕΝ ΑΝΕΣΤΗΣΕ ΔΕ ΦΡΥΝΗ Η ΕΤΑΙΡΑ, ὡς ἱστορεῖ Καλλίστρατος ἐν τῷ περὶ ἑταιρῶν. εἴρηκε δὲ περὶ τοῦ πλούτου αὐτῆς Τιμοκλῆς ὁ κωμικὸς ἐν Νεαίρᾳ (πρόκειται τὸ μαρτύριον) καὶ Ἄμφις ἐν Κουρίδι. παρεσίτει δὲ τῇ Φρύνῃ Γρυλλίων εἷς ὢν τῶν ἀρεοπαγιτῶν, ὡς καὶ
e Σάτυρος ὁ Ὀλύνθιος ὑποκριτὴς Παμφίλῃ. Ἀριστογείτων δ' ἐν τῷ κατὰ Φρύνης τὸ κύριον αὐτῆς φησὶν εἶναι ὄνομα Μνησαρέτην. οὐκ ἀγνοῶ δὲ ὅτι τὸν ἐπιγραφόμενον κατ' αὐτῆς Εὐθίου λόγον Διόδωρος ὁ περιηγητὴς Ἀναξιμένους φησὶν εἶναι. Ποσείδιππος δ' ὁ κωμικὸς ἐν Ἐφεσίᾳ τάδε φησὶ περὶ αὐτῆς

Φρύνη πρὸ ἡμῶν γέγονεν ἐπιφανεστάτη
πολὺ τῶν ἑταιρῶν· καὶ γὰρ εἰ νεωτέρα
τῶν τότε χρόνων εἶ, τόν γ' ἀγῶν' ἀκήκοας.
βλάπτειν δοκοῦσα τοὺς βίους μείζους βλάβας
f τὴν ἡλιαίαν εἶχε περὶ τοῦ σώματος,

καὶ τῶν δικαστῶν καθ' ἕνα δεξιουμένη
μετὰ δακρύων διέσωσε τὴν ψυχὴν μόλις.

51. ἴστε δὲ ὅτι καὶ Δημάδης ὁ ῥήτωρ ἐξ αὐλητρί-
δος ἑταίρας ἐπαιδοποιήσατο Δημέαν· ὃν φρυαττόμε-
νόν ποτε ἐπὶ τοῦ βήματος ἐπεστόμισεν Ὑπερείδης
εἰπών 'οὐ σιωπήσει, μειράκιον, μεῖζον τῆς μητρὸς
ἔχων τὸ φύσημα;' καὶ Βίων δ' ὁ Βορυσθενίτης φι-
λόσοφος ἑταίρας ἦν υἱὸς Ὀλυμπίας Λακαίνης, ὥς
φησι Νικίας ὁ Νικαεὺς ἐν ταῖς τῶν φιλοσόφων δια- 592
δοχαῖς. Σοφοκλῆς δ' ὁ τραγῳδιοποιὸς ἤδη γέρων ὢν
ἠράσθη Θεωρίδος τῆς ἑταίρας. ἱκετεύων οὖν τὴν
Ἀφροδίτην φησί

κλῦθί μευ εὐχομένου, κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν,
ἣ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
ὧν ἰσχὺς μὲν ἀπήμβλυνται θυμὸς δὲ μενοινᾷ.

ταῦτα μέν ἐστιν ἐκ τῶν εἰς Ὅμηρον ἀναφερομένων.
τῆς δὲ Θεωρίδος μνημονεύει λέγων ἔν τινι στασίμῳ b
οὕτως 'φίλη γὰρ ἡ Θεωρίς.' ἐπὶ δὲ δυσμαῖς ὢν τοῦ
βίου, ὥς φησιν Ἡγήσανδρος, Ἀρχίππην ἠγάπησε τὴν
ἑταίραν καὶ τοῦ βίου κληρονόμον κατέλιπεν. ὅτε δὲ
γηραιῷ ὄντι τῷ Σοφοκλεῖ συνῆν ἡ Ἀρχίππη, ὁ πρό-
τερος αὐτῆς ἐραστὴς Σμικρίνης ἐρωτώμενος ὑπό τινος
τί πράττει Ἀρχίππη, χαριέντως ἔφη 'ὥσπερ αἱ γλαῦ-
κες ἐπὶ τάφῳ κάθηται.'

62. ἀλλὰ μὴν καὶ Ἰσοκράτης ὁ τῶν ῥητόρων αἰδη-
μονέστατος Μετάνειραν εἶχεν ἐρωμένην παγκάλην,
ὡς Λυσίας ἱστορεῖ ἐν ταῖς ἐπιστολαῖς. Δημοσθένης
δ' ἐν τῷ κατὰ Νεαίρας τὴν Μετάνειραν τοῦ Λυσίου c
φησὶν ἐρωμένην εἶναι. ἥττητο δὲ καὶ ὁ Λυσίας Λα-
γίδος τῆς ἑταίρας, ἧς ἔγραψεν ἐγκώμιον Κέφαλος ὁ

ῥήτωρ· καθάπερ καὶ Ἀλκιδάμας ὁ Ἐλαΐτης ὁ Γοργίου μαθητὴς ἔγραψε καὶ αὐτὸς ἐγκώμιον Ναΐδος τῆς ἑταίρας. τὴν δὲ Ναΐδα ταύτην Λυσίας ἐν τῷ κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος ὁ λόγος, ἐρωμένην φησὶ γενέσθαι Φιλωνίδου, γράφων ὧδε 'ἔστιν οὖν γυνὴ ἑταίρα Ναῒς ὄνομα, ἧς Ἀρχίας κύριός ἐστιν· (ὁ δ' ὑμέναιος ἐπιτήδειος.) ὁ Φιλωνίδης δ' ἐρᾶν φησί.' μνημονεύει αὐτῆς καὶ Ἀριστοφάνης ἐν τῷ Γηρυ-
d τάδῃ. μήποτε δὲ κἀν τῷ Πλούτῳ ἐν ᾧ λέγει

ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;

γραπτέον Ναΐς, καὶ οὐ Λαΐς. Ἕρμιππος δ' ἐν τῷ περὶ Ἰσοκράτους προβαίνοντά φησι τῇ ἡλικίᾳ τὸν Ἰσοκράτη ἀναλαβεῖν Λαγίσκαν τὴν ἑταίραν εἰς τὴν οἰκίαν, ἐξ ἧς καὶ γενέσθαι αὐτῷ θυγάτριον. μνημονεύει δ' αὐτῆς Στράττις ἐν τούτοις

καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι,
τόν τ' αὐλοτρύπην αὐτόν.

e καὶ Λυσίας δὲ ἐν τῷ κατὰ Λαΐδος, εἰ γνήσιος ὁ λόγος, μνημονεύει αὐτῆς, καταλέγων καὶ ἄλλας ἑταίρας, ἐν τούτοις 'Φιλύρα γέ τοι ἐπαύσατο πορνευομένη καὶ ἔτι νέα οὖσα καὶ Σκιώνη καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ Ψαμάθη καὶ Λαγίσκα καὶ Ἄνθεια καὶ Ἀριστόκλεια.'

63. Δημοσθένη δὲ τὸν ῥήτορα καὶ τεκνοποιήσασθαι ἐξ ἑταίρας ἔχει λόγος. αὐτὸς γοῦν ἐν τῷ περὶ Χρυσίου λόγῳ προαγήοχε τὰ τέκνα ἐπὶ τὸ δικαστήριον, ὡς δι' ἐκείνων ἔλεον ἕξων, χωρὶς τῆς μητρός, καίτοι ἔθος ἐχόντων τῶν κρινομένων τὰς γυναῖκας
f ἐπάγεσθαι· ἀλλ' αἰδοῖ τοῦτ' ἐποίησε φεύγων τὴν διαβολήν. ἀκόλαστος δ' ἦν ὁ ῥήτωρ περὶ τὰ ἀφροδίσια, ὥς φησιν Ἰδομενεύς. Ἀριστάρχου γοῦν τινὸς

ἐρασθεὶς μειρακίου καὶ δι' αὐτὸ παροινήσας εἰς Νι-
κόδημον ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμούς. παραδέ-
δοται δὲ καὶ περὶ ὄψα καὶ περὶ νέους καὶ περὶ γυναῖ-
κας πολυτελής. τοιγαροῦν καὶ ὁ γραμματεύς ποτ'
αὐτοῦ εἶπε 'τί δ' ἄν τις περὶ Δημοσθένους λέγειν 593
δύναιτο; τὰ γὰρ ἐνιαυτῷ μελετηθέντα ἐκείνῳ μία
γυνὴ μιᾷ νυκτὶ συνέχεεν.' ἀναλαβεῖν γοῦν καὶ εἰς
τὴν οἰκίαν λέγεταί τινα Κνωσίωνα μειρακίσκον καί-
τοι γυναῖκα ἔχων· ὡς καὶ αὐτὴν ἀγανακτήσασαν συγ-
κοιμᾶσθαι τῷ Κνωσίωνι.

64. Μυρρίνην δὲ τὴν Σαμίαν ἑταίραν Δημήτριος
εἶχεν ὁ βασιλεὺς ὁ τῆς διαδοχῆς τελευταῖος, καὶ ἔξω
τοῦ διαδήματος κοινωνὸν εἶχε τῆς βασιλείας, ὥς φησι
Νικόλαος ὁ Δαμασκηνός. Πτολεμαῖός τε ὁ τὴν ἐν
Ἐφέσῳ διέπων φρουρὰν υἱὸς ὢν τοῦ Φιλαδέλφου
βασιλέως Εἰρήνην εἶχε τὴν ἑταίραν, ἥτις ὑπὸ Θρᾳ- b
κῶν ἐν Ἐφέσῳ ἐπιβουλευομένου τοῦ Πτολεμαίου καὶ
καταφυγόντος εἰς τὸ τῆς Ἀρτέμιδος ἱερὸν συγκατ-
έφυγε, καὶ ἀποκτεινάντων αὐτὸν ἐκείνων ἡ Εἰρήνη
ἐχομένη τῶν ῥόπτρων τῶν θυρῶν τοῦ ἱεροῦ ἐν-
έρραινε τοῦ αἵματος τοῖς βωμοῖς, ἕως καὶ αὐτὴν κατ-
έσφαξαν. Δανάην δὲ τὴν Λεοντίου τῆς ἐπικουρείου
θυγατέρα ἑταιριζομένην καὶ αὐτὴν Σώφρων εἶχεν ὁ
ἐπὶ τῆς Ἐφέσου, δι' ἣν αὐτὸς ἐσώθη ἐπιβουλευόμενος
ὑπὸ Λαοδίκης, ἣ δὲ κατεκρημνίσθη, ὡς γράφει Φύ-
λαρχος διὰ τῆς δωδεκάτης τάδε λέγων 'ἡ πάρεδρος τῆς c
Λαοδίκης Δανάη πιστευομένη ὑπ' αὐτῆς τὰ πάντα,
Λεοντίου δ' οὖσα τῆς μετ' Ἐπικούρου τοῦ φυσικοῦ
σχολασάσης θυγάτηρ, Σώφρονος δὲ γεγονυῖα πρότε-
ρον ἐρωμένη, παρακολουθοῦσα διότι ἀποκτεῖναι
βούλεται τὸν Σώφρονα ἡ Λαοδίκη, διανεύει τῷ Σώ-
φρονι μηνύουσα τὴν ἐπιβουλήν. ὃ δὲ συλλαβὼν καὶ

προσποιηθεὶς συγχωρεῖν περὶ ὧν λέγει δύ' ἡμέρας
παρῃτήσατο εἰς σκέψιν, καὶ συγχωρησάσης νυκτὸς
ἔφυγεν εἰς Ἔφεσον. μαθοῦσα δὲ ἡ Λαοδίκη τὸ ποιη-
d θὲν ὑπὸ τῆς Δανάης κατεκρήμνισε τὴν ἄνθρωπον,
οὐδὲν τῶν προγεγενημένων φιλανθρώπων ἐπὶ νοῦν
βαλλομένη. τὴν δὲ Δανάην φασίν, ὡς ᾔσθετο τὸν
ἐπηρτημένον αὐτῇ κίνδυνον, ἀνακρινομένην ὑπὸ τῆς
Λαοδίκης οὐδ' ἀποκρίσεως αὐτὴν ἀξιῶσαι· ἀπαγο-
μένην τε ἐπὶ τὸν κρημνὸν εἰπεῖν ὡς δικαίως οἱ πολ-
λοὶ καταφρονοῦσι τοῦ θείου, ὅτε ἐγὼ μὲν τὸν γενό-
μενόν μοι ἄνδρα σώσασα τοιαύτην χάριτα παρὰ τοῦ
δαιμονίου λαμβάνω, Λαοδίκη δὲ τὸν ἴδιον ἀποκτεί-
νασα τηλικαύτης τιμῆς ἀξιοῦται.' ὁ δ' αὐτὸς Φύλαρ-
e χος καὶ περὶ Μύστας ἱστορεῖ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ
οὕτως 'Μύστα Σελεύκου τοῦ βασιλέως ἐρωμένη ἦν,
ἥτις ὑπὸ Γαλατῶν Σελεύκου νικηθέντος καὶ μόλις ἐκ
τῆς φυγῆς διασωθέντος αὐτὴ μεταμφιεσαμένη τὴν
βασιλικὴν ἐσθῆτα καὶ ἀναλαβοῦσα θεραπαινίδος τῆς
τυχούσης, συλληφθεῖσα ἀπήχθη μετὰ τῶν ἄλλων
αἰχμαλώτων, καὶ πραθεῖσα ὁμοίως ταῖς ἑαυτῆς θερα-
παινίσιν ἦλθεν εἰς Ῥόδον· ἔνθα ἐκφήνασα ἑαυτὴν
ἥτις ἦν περισπουδάστως ὑπὸ τῶν Ῥοδίων τῷ Σελεύ-
κῳ διεπέμφθη.'

65. Δημήτριος δὲ ὁ Φαληρεὺς Λαμπιτοῦς τῆς
f Σαμίας ἑταίρας ἐρασθεὶς ἡδέως δι' αὐτὴν καὶ Λαμ-
πιτὼ προσηγορεύετο, ὥς φησι Δίυλλος. ἐκαλεῖτο δὲ
καὶ χαριτοβλέφαρος. Νικαρέτη δὲ ἡ ἑταίρα ἐρωμένη
ἦν Στεφάνου τοῦ ῥήτορος, Λυσίου δὲ τοῦ σοφιστοῦ
Μετάνειρα. ἦσαν δὲ αὗται δοῦλαι Κασίου τοῦ Ἠλείου
μετὰ καὶ ἄλλων ἑταιρῶν, Ἀντείας Στρατόλας Ἀριστο-
κλείας Φίλας Ἰσθμιάδος Νεαίρας. ἡ δὲ Νέαιρα ἦν
Στρατοκλείδου ἐρωμένη καὶ Ξενοκλείδου τοῦ ποιητοῦ

καὶ Ἱππάρχου τοῦ ὑποκριτοῦ καὶ Φρυνίωνος τοῦ Παιανιέως, ὃς ἦν Δήμωνος μὲν υἱὸς Δημοχάρους δὲ ἀδελφιδοῦς. τὴν δὲ Νέαιραν εἶχον ἡμέραν παρ' ἡμέραν, διαιτητῶν γενομένων φίλων, Φρυνίων καὶ Στέφανος ὁ ῥήτωρ· ὃς καὶ τὴν τῆς Νεαίρας θυγατέρα 594 Στρυβήλην τὴν ὕστερον Φανὼ κληθεῖσαν ὡς ἰδίαν θυγατέρα ἐξέδοτο Φράστορι τῷ Αἰγιαλεῖ, ὥς φησι Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας. ὃς καὶ περὶ Σινώπης τῆς ἑταίρας τάδε λέγει ‘Ἀρχίαν τὸν ἱεροφάντην ἐξελεγχθέντα ἐν τῷ δικαστηρίῳ ὡς ἀσεβοῦντα καὶ θύοντα παρὰ τὰ πάτρια τὰς θυσίας ἐκολάσατε· καὶ ἄλλα τε κατηγορήθη αὐτοῦ καὶ ὅτι Σινώπῃ τῇ ἑταίρᾳ ἁλῴοις ἐπὶ τῆς ἐσχάρας τῆς ἐν τῇ αὐλῇ Ἐλευσῖνι b προσαγούσῃ ἱερεῖον θύσειε, νομίμου ὄντος ἐν ταύτῃ τῇ ἡμέρᾳ ἱερεῖα μὴ θύειν, οὐδὲ ἐκείνου οὔσης τῆς θυσίας ἀλλὰ τῆς ἱερείας.’

66. διαβόητος δ' ἑταίρα γέγονε καὶ ἡ Μιλησία Πλαγγών· ἧς περικαλλεστάτης οὔσης ἠράσθη τις νεανίσκος Κολοφώνιος Βακχίδα ἔχων ἐρωμένην τὴν Σαμίαν. λόγους οὖν προσενέγκαντος τοῦ νεανίσκου πρὸς αὐτὴν ἡ Πλαγγὼν ἀκούσασα τῆς Βακχίδος τὸ κάλλος καὶ ἀποτρέψαι θέλουσα τὸν νεανίσκον τοῦ πρὸς αὐτὴν ἔρωτος, ὡς ἀδύνατον ἦν, ᾔτησε τῆς συνουσίας μισθὸν τὸν Βακχίδος ὅρμον διαβόητον ὄντα. ὁ δὲ σφοδρῶς ἐρῶν ἠξίωσε τὴν Βακχίδα μὴ περιιδεῖν c αὐτὸν ἀπολλύμενον. καὶ ἡ Βακχὶς τὴν ὁρμὴν κατιδοῦσα τοῦ νεανίσκου ἔδωκε. Πλαγγών τε τὸ ἄζηλον συνιδοῦσα τῆς Βακχίδος τὸν μὲν ἀπέπεμψεν ἐκείνῃ, τῷ δὲ ὡμίλησε. καὶ τοῦ λοιποῦ φίλαι ἐγένοντο, κοινῶς περιέπουσαι τὸν ἐραστήν. ἐφ' οἷς Ἴωνες ἀγασθέντες, ὥς φησι Μενέτωρ ἐν τῷ περὶ ἀναθημάτων,

Πασιφίλαν ἐκάλεσαν τὴν Πλαγγόνα. μαρτυρεῖ δὲ καὶ
d Ἀρχίλοχος περὶ αὐτῆς ἐν τούτοις

συκῆ πετραίη πολλὰς βόσκουσα κορώνας,
εὐήθης ξείνων δέκτρια Πασιφίλη.

ὅτι δὲ καὶ Μένανδρος ὁ ποιητὴς ἤρα Γλυκέρας κοινόν. ἐνεμεσήθη δέ. Φιλήμονος γὰρ ἑταίρας ἐρασθέντος καὶ χρηστὴν ταύτην ὀνομάσαντος διὰ τοῦ δράματος, ἀντέγραψε Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς.

67. Ἅρπαλος δὲ ὁ Μακεδών, ὁ τῶν Ἀλεξάνδρου
e πολλὰ χρημάτων συλήσας καὶ καταφυγὼν εἰς Ἀθήνας, ἐρασθεὶς Πυθιονίκης πολλὰ εἰς αὐτὴν κατανάλωσεν ἑταίραν οὖσαν, καὶ ἀποθανούσῃ πολυτάλαντον μνημεῖον κατεσκεύασεν· ἐκφέρων τε αὐτὴν ἐπὶ τὰς ταφάς, ὥς φησι Ποσειδώνιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, τεχνιτῶν τῶν ἐπισημοτάτων χορῷ μεγάλῳ καὶ παντοίοις ὀργάνοις καὶ συμφωνίαις παρέπεμπε τὸ σῶμα. Δικαίαρχος δ᾽ ἐν τοῖς περὶ τῆς εἰς Τροφωνίου καταβάσεώς φησι ‛ταὐτὸ δὲ πάθοι τις
f ἂν ἐπὶ τὴν Ἀθηναίων πόλιν ἀφικνούμενος κατὰ τὴν ἀπ᾽ Ἐλευσῖνος τὴν ἱερὰν ὁδὸν καλουμένην. καὶ γὰρ ἐνταῦθα καταστάς, οὗ ἂν ᾖ τὸ πρῶτον ὁ τῆς Ἀθηνᾶς ἀφορώμενος νεὼς καὶ τὸ πόλισμα, ὄψεται παρὰ τὴν ὁδὸν αὐτὴν ᾠκοδομημένον μνῆμα, οἷον οὐχ ἕτερον οὐδὲ σύνεγγυς οὐδέν ἐστι τῷ μεγέθει. τοῦτο δὲ τὸ μὲν πρῶτον, ὅπερ εἰκός, ἢ Μιλτιάδου φήσει σαφῶς
595 ἢ Περικλέους ἢ Κίμωνος ἤ τινος ἑτέρου τῶν ἀγαθῶν ἀνδρῶν εἶναι, μάλιστα μὲν ὑπὸ τῆς πόλεως δημοσίᾳ κατεσκευασμένον, εἰ δὲ μή, δεδογμένον κατασκευάσασθαι. πάλιν δ᾽ ὅταν ἐξετάσῃ Πυθιονίκης τῆς ἑταίρας εἶναι, τίνα χρὴ προσδοκίαν λαβεῖν αὐτόν;' Θεόπομπος δ᾽ ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπιστολῇ τὴν Ἀρ-

πάλου διαβάλλων ἀκολασίαν φησίν· ‘ἐπίσκεψαι δὲ καὶ διάκουσον σαφῶς παρὰ τῶν ἐκ Βαβυλῶνος, ὃν τρόπον Πυθιονίκην περιέστειλε τελευτήσασαν. ἣ Βακχίδος μὲν ἦν δούλη τῆς αὐλητρίδος, ἐκείνη δὲ Σινώπης τῆς Θράττης τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμένης τὴν b πορνείαν, ὥστε γίνεσθαι μὴ μόνον τρίδουλον ἀλλὰ καὶ τρίπορνον αὐτήν. ἀπὸ πλειόνων δὲ ταλάντων ἢ διακοσίων δύο μνήματα κατεσκεύασεν αὐτῆς· ὃ καὶ πάντες ἐθαύμαζον, ὅτι τῶν μὲν ἐν Κιλικίᾳ τελευτησάντων ὑπὲρ τῆς σῆς βασιλείας καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας οὐδέπω νῦν οὔτ’ ἐκεῖνος οὔτε ἄλλος οὐδεὶς τῶν ἐπιστατῶν κεκόσμηκε τὸν τάφον, Πυθιονίκης δὲ τῆς ἑταίρας φανήσεται τὸ μὲν Ἀθήνησι τὸ δ’ ἐν Βαβυλῶνι μνῆμα πολὺν ἤδη χρόνον ἐπιτετελεσμένον. ἣν γὰρ πάντες ᾔδεσαν ὀλίγης δαπάνης κοινὴν c τοῖς βουλομένοις γιγνομένην, ταύτης ἐτόλμησεν ὁ φίλος εἶναι σοῦ φάσκων ἱερὸν καὶ τέμενος ἱδρύσασθαι, καὶ προσαγορεῦσαι τὸν ναὸν καὶ τὸν βωμὸν Πυθιονίκης Ἀφροδίτης, ἅμα τῆς τε παρὰ θεῶν τιμωρίας καταφρονῶν καὶ τὰς σὰς τιμὰς προπηλακίζειν ἐπιχειρῶν.’ μνημονεύει τούτων καὶ Φιλήμων ἐν Βαβυλωνίῳ.

βασίλισσ’ ἔσει Βαβυλῶνος, ἂν οὕτω τύχῃ.
τὴν Πυθιονίκην οἶσθα καὶ τὸν Ἅρπαλον.

μνημονεύει δ’ αὐτῆς καὶ Ἄλεξις ἐν Λυκίσκῳ. d

68. μετὰ δὲ τὴν Πυθιονίκης τελευτὴν ὁ Ἅρπαλος Γλυκέραν μετεπέμψατο καὶ ταύτην ἑταίραν, ὡς ὁ Θεόπομπος ἱστορεῖ, φάσκων ἀπειρηκέναι τὸν Ἅρπαλον μὴ στεφανοῦν ἑαυτόν, εἰ μή τις στεφανώσειε καὶ τὴν πόρνην. ‘ἕστησέ τε εἰκόνα χαλκῆν τῆς Γλυκέρας ἐν Ῥωσσῷ τῆς Συρίας, οὗπερ καὶ σὲ καὶ αὑτὸν ἀνατιθέναι μέλλει. παρέδωκέ τε αὐτῇ κατοικεῖν ἐν τοῖς

βασιλείοις τοῖς ἐν Ταρσῷ, καὶ ὁρᾷ ὑπὸ τοῦ λαοῦ προσκυνουμένην καὶ βασίλισσαν προσαγορευομένην
e καὶ ταῖς ἄλλαις δωρεαῖς τιμωμένην, αἷς πρέπον ἦν τὴν σὴν μητέρα καὶ τὴν σοὶ συνοικοῦσαν.' συνεπιμαρτυρεῖ δὲ τούτοις καὶ ὁ τὸν Ἀγῆνα τὸ σατυρικὸν δραμάτιον γεγραφώς, ὅπερ ἐδίδαξε διονυσίων ὄντων ἐπὶ τοῦ Ὑδάσπου τοῦ ποταμοῦ, εἴτε Πύθων ἦν ὁ Καταναῖος ἢ ὁ Βυζάντιος ἢ καὶ αὐτὸς ὁ βασιλεύς. ἐδιδάχθη δὲ τὸ δρᾶμα ἤδη φυγόντος τοῦ Ἁρπάλου ἐπὶ θάλατταν καὶ ἀποστάντος. καὶ τῆς μὲν Πυθιονίκης ὡς τεθνηκυίας μέμνηται, τῆς δὲ Γλυκέρας ὡς οὔσης παρ' αὐτῷ καὶ τοῖς Ἀθηναίοις αἰτίας γινομένης
f τοῦ δωρεὰς λαμβάνειν παρὰ Ἁρπάλου, λέγων ὧδε

ἔστιν δ' ὅπου μὲν ὁ κάλαμος πέφυχ' ὅδε
φέτωμ' ἄορνον, οὑξ ἀριστερᾶς δ' ὅδε
πόρνης ὁ κλεινὸς ναός, ὃν δὴ Παλλίδης
τεύξας κατέγνω διὰ τὸ πρᾶγμ' αὐτοῦ φυγήν.
ἐνταῦθα δὴ τῶν βαρβάρων τινὲς μάγοι,
ὁρῶντες αὐτὸν παγκάκως διακείμενον,
ἔπεισαν ὡς ἄξουσι τὴν ψυχὴν ἄνω
596 τὴν Πυθιονίκης.

Παλλίδην δ' ἐνταῦθα ἐκάλεσε τὸν Ἅρπαλον. ἐν δὲ τοῖς ἑξῆς τῷ κυρίῳ καλέσας αὐτόν φησιν

ἐκμαθεῖν δέ σου ποθῶ
μακρὰν ἀποικῶν κεῖθεν, Ἀτθίδα χθόνα
τίνες τύχαι κατέχουσιν ἢ πράττουσι τί.
Α. ὅτε μὲν ἔφασκον δοῦλον ἐκτῆσθαι βίον,
ἱκανὸν ἐδείπνουν· νῦν δὲ τὸν χέδροπα μόνον
καὶ τὸν μάραθον ἔσθουσι, πυροὺς δ' οὐ μάλα.
Β. καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον
b αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάσσονας
σίτου διαπέμψαι καὶ πολίτην γεγονέναι.

Α. Γλυκέρας ὁ σῖτος οὗτος ἦν· ἐστὶν δ' ἴσως
αὐτοῖσιν ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών.

69. ἐνδόξους δὲ ἑταίρας καὶ ἐπὶ κάλλει διαφερούσας ἤνεγκε καὶ ἡ Ναύκρατις· Δωρίχαν τε, ἣν ἡ καλὴ Σαπφὼ ἐρωμένην γενομένην Χαράξου τοῦ ἀδελφοῦ αὐτῆς κατ' ἐμπορίαν εἰς τὴν Ναύκρατιν ἀπαίροντος διὰ τῆς ποιήσεως διαβάλλει ὡς πολλὰ τοῦ Χαράξου c νοσφισαμένην. Ἡρόδοτος δ' αὐτὴν Ῥοδῶπιν καλεῖ, ἀγνοῶν ὅτι ἑτέρα τῆς Δωρίχης ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς, ὧν μέμνηται Κρατῖνος διὰ τούτων . . . εἰς δὲ τὴν Δωρίχαν τόδ' ἐποίησε τοὐπίγραμμα Ποσείδιππος, καίτοι ἐν τῇ Αἰθιοπίᾳ πολλάκις αὐτῆς μνημονεύσας. ἔστι δὲ τόδε

Δωρίχα, ὀστέα μὲν σὰ πάλαι κεκόνισθ', ὅ τε δεσμὸς
χαίτης, ἥ τε μύρων ἔμπνοος ἀμπεχόνη,
ᾗ ποτε τὸν χαρίεντα περιστέλλουσα Χάραξον d
σύγχροος ὀρθρινῶν ἥψαο κισσυβίων.
σαπφῷαι δὲ μένουσι φίλης ἔτι καὶ μενέουσιν
ᾠδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες.
οὔνομα σὸν μακαριστόν, ὃ Ναύκρατις ἧδε φυλάξει
ἔστ' ἂν ἴῃ Νείλου ναῦς ἐφ' ἁλὸς πελάγη.

καὶ Ἀρχεδίκη δ' ἦν ἐκ τῆς Ναυκράτεως καὶ αὐτὴ ἑταίρα καλή. φιλεῖ γάρ πως ἡ Ναύκρατις, ὡς ὁ Ἡρόδοτός φησιν, ἐπαφροδίτους ἔχειν τὰς ἑταίρας. e

70. καὶ ἡ ἐξ Ἐρέσου δὲ τῆς ἑτέρας ὁμώνυμος Σαπφὼ τοῦ καλοῦ Φάωνος ἐρασθεῖσα περιβόητος ἦν, ὥς φησι Νύμφις ἐν Περίπλῳ Ἀσίας. Νικαρέτη δὲ ἡ Μεγαρὶς οὐκ ἀγεννὴς ἦν ἑταίρα, ἀλλὰ καὶ γονέων εὖ ἧκε καὶ κατὰ παιδείαν ἐπέραστος ἦν, ἠκροᾶτο δὲ Στίλπωνος τοῦ φιλοσόφου. Βιλιστίχη δ' ἡ Ἀργεία ἑταίρα καὶ αὐτὴ ἔνδοξος, τὸ γένος ἀπὸ τῶν Ἀτρειδῶν σώζουσα,

f ὡς οἱ τὰ Ἀργολικὰ γράψαντες ἱστοροῦσιν. ἔνδοξος δέ ἐστι καὶ Λέαινα ἡ ἑταίρα, Ἁρμοδίου ἐρωμένη τοῦ τυραννοκτονήσαντος· ἥτις καὶ αἰκιζομένη ὑπὸ τῶν περὶ Ἱππίαν τὸν τύραννον οὐδὲν ἐξειποῦσα ἐναπέθανε ταῖς βασάνοις. Στρατοκλῆς δ' ὁ ῥήτωρ ἐρωμένην εἶχε τὴν ἐπικληθεῖσαν Λήμην ἑταίραν, τὴν καλουμένην Παρόραμα . . . διὰ τὸ καὶ δύο δραχμῶν φοιτᾶν πρὸς τὸν βουλόμενον, ὥς φησι Γοργίας ἐν τῷ περὶ ἑταιρῶν.

ἐπὶ τούτοις ὁ Μυρτίλος μέλλων σιωπᾶν, ἀλλὰ μικροῦ, ἔφη, ἄνδρες φίλοι, ἐξελαθόμην ὑμῖν εἰπεῖν
597 τήν τε Ἀντιμάχου Λυδὴν προσέτι δὲ καὶ τὴν ὁμώνυμον ταύτης ἑταίραν Λυδήν, ἣν ἠγάπα Λαμύνθιος ὁ Μιλήσιος. ἑκάτερος γὰρ τούτων τῶν ποιητῶν, ὥς φησι Κλέαρχος ἐν τοῖς Ἐρωτικοῖς, τῆς βαρβάρου Λυδῆς εἰς ἐπιθυμίαν καταστὰς ἐποίησεν ὃ μὲν ἐν ἐλεγείοις ὃ δ' ἐν μέλει τὸ καλούμενον ποίημα Λυδήν. παρέλιπον δὲ καὶ τὴν Μιμνέρμου αὐλητρίδα Ναννὼ καὶ τὴν Ἑρμησιάνακτος τοῦ Κολοφωνίου Λεόντιον· ἀπὸ γὰρ ταύτης ἐρωμένης αὐτῷ γενομένης ἔγραψεν ἐλεγειακὰ τρία βιβλία, ὧν ἐν τῷ τρίτῳ κατάλογον
b ποιεῖται ἐρωτικῶν οὑτωσί πως λέγων

71. οἵην μὲν φίλος υἱὸς ἀνήγαγεν Οἰάγροιο
Ἀγριόπην Θρῇσσαν στειλάμενος κιθάρην
ᾁδόθεν. ἔπλευσεν δὲ κακὸν καὶ ἀπεχθέα χῶρον,
ἔνθα Χάρων κυανὴν ἕλκεται εἰς ἄκατον
ψυχὰς οἰχομένων, λίμνη δ' ἐπὶ μακρὸν ἀυτεῖ
ῥεῦμα διὲκ μεγάλων συρομένη δονάκων.
c ἀλλ' ἔτλη παρὰ κῦμα μονόζωστος κιθαρίζων
Ὀρφεύς, ἀνταίους δ' ἐξανέπεισε θεούς·
Κωκυτόν τ' ἀνέθιστον ἐπ' ὀφρύσιν οἰδήσαντα
εἶδε, καὶ αἰνοτάτου βλέμμ' ὑπέμεινε κυνός,

ἐν πυρὶ μὲν φωνὴν τεθοωμένου ἐν πυρὶ δ᾽ ὄμμα,
σκληρὸν τριστοίχοις δεῖμα φέρον κεφαλαῖς.
ἔνθεν ἀοιδιάων μεγάλους ἀνέπεισεν ἄνακτας
Ἀγριόπην μαλακοῦ πνεῦμα λαβεῖν βιότου.
οὐ μὴν οὐδ᾽ υἱὸς Μήνης ἀγέραστον ἔθηκε
Μουσαῖος χαρίτων ἤρανος Ἀντιόπην, d
ἥ τε πολὺν μύστῃσιν Ἐλευσῖνος παρὰ πέζαν
εὐασμὸν κρυφίων ἐξεφόρει λογίων,
Ῥάριον ὀργειῶνι νόμῳ διαποιπνύουσα
Δήμητρι· γνωστὴ δ᾽ ἐστὶ καὶ εἰν ἀίδῃ.
φημὶ δὲ καὶ πατρῷον ἀποπρολιπόντα μέλαθρον
Ἡσίοδον, πάσης ἤρανον ἱστορίης,
Ἀσκραίων ἐσικέσθαι ἐρῶνθ᾽ ἑλικωνίδα κώμην·
ἔνθεν ὅ γ᾽ Ἠοίην μνώμενος Ἀσκραϊκὴν
πόλλ᾽ ἔπαθεν, πάσας δὲ λόγων ἀνεγράψατο βί- e
βλους,
ὕμνων ἐκ πρώτης παιδὸς ἐναρχόμενος.
αὐτὸς δ᾽ οὗτος ἀοιδός, ὃν ἐκ Διὸς αἶσα φυλάσσει,
ἥδει τὸν πάντων δαίμονα μουσοπόλων,
λεπτὴν δ᾽ αἷς Ἰθάκην ἐνετείνετο θεῖος Ὅμηρος
ᾠδῇσιν πινυτῆς εἵνεκα Πηνελόπης,
ἣν διὰ πολλὰ παθὼν ὀλίγην ἐσενάσσατο νῆσον,
πολλὸν ἀπ᾽ εὐρείης λειπόμενος πατρίδος· f
ἔκλεε δ᾽ Ἰκαρίου τε γένος καὶ δῆμον Ἀμύκλου
καὶ Σπάρτην, ἰδίων ἁπτόμενος παθέων.
Μίμνερμος δὲ τὸν ἡδὺν ὃς εὕρετο πολλὸν ἀνατλὰς
ἦχον καὶ μαλακοῦ πνεῦμα τὸ πενταμέτρου, 598
καίετο μὲν Ναννοῦς, πολλῷ δ᾽ ὑπὸ πολλάκι λωτῷ
κημωθεὶς κώμους εἶχε σὺν Ἐξαμύῃ.
ἤχθετο δ᾽ Ἑρμόβιον τὸν ἀεὶ βαρὺν ἠδὲ Φερεκλῆν
ἐχθρὸν μισήσας οἷ᾽ ἀνέπεμψεν ἔπη.
Λυδῆς δ᾽ Ἀντίμαχος Λυδηίδος ἐκ μὲν ἔρωτι

*πληγεὶς Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ·*
b *Σαρδιανὴν δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν*
*κλαίων. Αἰζάνιον δ' ἦλθεν ἀποπρολιπὼν*
*ἄκρον ἔσω Κολοφῶνα, γόων δ' ἐνεπλήσατο βίβλους,*
*γηρὰς ἐκ παντὸς παυσάμενος καμάτου.*
*Λέσβιος Ἀλκαῖος δὲ πόσους ἀνεδείξατο κώμους,*
*Σαπφοῦς φορμίζων ἱμερόεντα πόθον,*
*γιγνώσκεις. ὁ δ' ἀοιδὸς ἀηδόνος ἠράσαθ' ὕμνων,*
c *Τήιον ἀλγύνων ἄνδρα πολυφραδίῃ.*
*καὶ γὰρ τὴν ὁ μελιχρὸς ἐφωμίλησεν Ἀνακρέων*
*στελλομένην πολλαῖς ἅμμιγα Λεσβιάσιν·*
*φοίτα δ' ἄλλοτε μὲν λείπων Σάμον, ἄλλοτε δ' αὐτὴν*
*οἰνηρὴν ὄρεσιν κεκλιμένην πατρίδα,*
*Λέσβον ἐς εὔοινον· τὸ δὲ μύσιον εἴσιδε Λεκτόν*
*πολλάκις αἰολικοῦ κύματος ἀντιπέρας.*
*ἀτθὶς δ' οἷα μέλισσα πολυπρήωνα Κολωνὸν*
*λείπουσ' ἐν τραγικαῖς ἦδε χοροστασίαις*
d *Βάκχον, καὶ τὸν ἔρωτ' ἐγέραιρε Θεωρίδος, οἶσθα.*
*. . . Ζεὺς ἔπορεν Σοφοκλεῖ.*
*φημὶ δὲ κἀκεῖνον τὸν ἀεὶ πεφυλαγμένον ἄνδρα*
*καὶ σπανίων μῖσος κτώμενον ἐκ συνόδων*
*πάσας ἀμφὶ γυναῖκας, ὑπὸ σκολιοῖο τυπέντα*
*τόξου νυκτερινὰς οὐκ ἀποθέσθ' ὀδύνας.*
*ἀλλὰ Μακηδονίης πάσας κατενίσατο λαύρας,*
*Αἰγειῷ μέθεπεν δ' Ἀρχέλεω ταμίην,*
e *εἰσόκε σοὶ δαίμων, Εὐριπίδη, εὗρετ' ὄλεθρον*
*Ἀμφιβίου στυγνῶν ἀντιάσαντι κυνῶν.*
*ἄνδρα δὲ τὸν Κυθέρηθεν, ὃν ἐθρέψαντο τιθῆναι*
*Βάκχου, τὸν λωτοῦ πιστότατον ταμίην,*
*Μούσαις παιδευθέντα Φιλόξενον, οἷα τιναχθεὶς*

Ὀρτυγίην ταύτης ἦλθε διὰ πτόλιος,
γιγνώσκεις, ἀίουσα μέγαν πόθον, ὃν Γαλατείης
αὐτοῖς μηλείοις θῆκαθ᾽ ὑπὸ προγόνοις.
οἶσθα δὲ καὶ τὸν ἀοιδόν, ὃν Εὐρυπύλου πολιῆται
Κῷοι χάλκειον στῆσαν ὑπὸ πλατάνῳ f
Βαττίδα μολπάζοντα θοήν, περὶ πάντα Φιλητᾶν
ῥήματα καὶ πᾶσαν τρυόμενον λαλιήν.
οὐδὲ μὲν οὐδ᾽ ὁπόσοι σκληρὸν βίον ἐκτήσαντο
ἀνθρώπων, σκολιὴν μαιόμενοι σοφίην,
οὓς λιτὴ περίπικρα λόγοις ἐσφίγξατο μῆτις
καὶ δεινὴ μύθων κῦρος ἔχουσ᾽ ἀρετή,
οὐδ᾽ οἵδ᾽ αἰνὸν ἔρωτος ἀπετρέψαντο κυδοιμὸν
φαινόμενον, δεινὸν δ᾽ ἦλθον ὑφ᾽ ἡνίοχον. 599
οἵη μὲν Σάμιον μανίη κατέδησε Θεανοῦς
Πυθαγόρην, ἑλίκων κομψὰ γεωμετρίης
εὑρόμενον καὶ κύκλον, ὅσον περιβάλλεται αἰθήρ,
βαιῇ ἐνὶ σφαίρῃ πάντ᾽ ἀπομασσόμενον.
οἵῳ δ᾽ ἐχλίηνεν ὃν ἔξοχον ἔχρη Ἀπόλλων
ἀνθρώπων εἶναι Σωκράτη ἐν σοφίῃ
Κύπρις μηνίουσα πυρὸς μένει. ἐκ δὲ βαθείης
ψυχῆς κουφοτέρας ἐξεπόνησ᾽ ἀνίας b
οἰκί᾽ ἐς Ἀσπασίης πωλεύμενος· οὐδέ τι τέκμαρ
εὗρε, λόγων πολλὰς εὑρόμενος διόδους.
ἄνδρα δὲ Κυρηναῖον ἔσω πόθος ἔσπασεν Ἰσθμοῦ
δεινός, ὅτ᾽ ἀπιθάνης Λαΐδος ἠράσατο
ὀξὺς Ἀρίστιππος, πάσας δ᾽ ἠνήνατο λέσχας
φεύγων, οὐδ᾽ ἀνέμων ἐξεφόβησε βία.

72. ἐν τούτοις ὁ Ἑρμησιάναξ σφάλλεται συγχρονεῖν οἰόμενος Σαπφὼ καὶ Ἀνακρέοντα, τὸν μὲν κατὰ Κῦρον καὶ Πολυκράτην γενόμενον, τὴν δὲ κατ᾽ Ἀλυάττην τὸν Κροίσου πατέρα. Χαμαιλέων δ᾽ ἐν τῷ περὶ c

Σαπφοῦς καὶ λέγειν τινάς φησιν εἰς αὐτὴν πεποιῆσθαι ὑπὸ Ἀνακρέοντος τάδε

σφαίρῃ δηὖτέ με πορφυρέῃ
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικιλοσαμβάλῳ
συμπαίζειν προκαλεῖται.
ἣ δ' ἐστὶν γὰρ ἀπ' εὐκτίτου
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λευκὴ γάρ, καταμέμφεται,
d πρὸς δ' ἄλλην τινὰ χάσκει.

καὶ τὴν Σαπφὼ δὲ πρὸς αὐτὸν ταῦτά φησιν εἰπεῖν

κεῖνον, ὦ χρυσόθρονε Μοῦσ', ἔνισπες
ὕμνον, ἐκ τᾶς καλλιγύναικος ἐσθλᾶς
Τήιος χώρας ὃν ἄειδε τερπνῶς
πρέσβυς ἀγαυός.

ὅτι δὲ οὐκ ἔστι Σαπφοῦς τοῦτο τὸ ᾆσμα παντί που δῆλον. ἐγὼ δὲ ἡγοῦμαι παίζειν τὸν Ἑρμησιάνακτα περὶ τούτου τοῦ ἔρωτος. καὶ γὰρ Δίφιλος ὁ κωμῳδιοποιὸς πεποίηκεν ἐν Σαπφοῖ δράματι Σαπφοῦς ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώνακτα.

e ταῦθ' ὑμῖν, ὦ ἑταῖροι, οὐκ ἀμερίμνως δοκῶ τὸν ἐρωτικὸν τοῦτον πεποιῆσθαι κατάλογον, οὐκ ὢν οὕτως ἐρωτομανὴς ὡς διαβάλλων με εἴρηκεν ὁ Κύνουλκος· ἀλλ' ἐρωτικὸς μὲν εἶναι ὁμολογῶ, ἐρωτομανὴς δὲ οὔ.

τίς δ' ἔστ' ἀνάγκη δυστυχεῖν ἐν πλείοσιν,
ἐξὸν σιωπᾶν κἀν σκότῳ κρύπτειν τάδε;

Αἰσχύλος ἔφη ὁ Ἀλεξανδρεὺς ἐν Ἀμφιτρύωνι. οὗτος δ' ἐστὶν Αἰσχύλος ὁ καὶ τὰ Μεσσηνιακὰ ἔπη συνθείς, ἀνὴρ εὐπαίδευτος.

f 73. ὑπολομβάνων οὖν μέγαν εἶναι δαίμονα καὶ δυνατώτατον τὸν Ἔρωτα, προσέτι δὲ καὶ τὴν Ἀφρο-

δίτην τὴν χρυσῆν, τὰ Εὐριπίδου ἐπὶ νοῦν λαμβάνων λέγω

τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
ἣν οὐδ' ἂν εἴποις οὐδὲ μετρήσειας ἂν
ὅση πέφυκε κἀφ' ὅσον διέρχεται.
αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς.
τεκμήριον δέ, μὴ λόγῳ μόνον μάθῃς,
ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ. 600
ἐρᾷ μὲν ὄμβρου γαῖ', ὅταν ξηρὸν πέδον
ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ·
ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος
ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο,
ὅταν δὲ συμμιχθῆτον ἐς ταυτὸν δύο,
φύουσιν ἡμῖν πάντα κἀκτρέφουσ' ἅμα,
δι' ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος.

καὶ ὁ σεμνότατος δ' Αἰσχύλος ἐν ταῖς Δαναίσιν αὐτὴν παράγει τὴν Ἀφροδίτην λέγουσαν

ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς πλῆσαι χθόνα, b
ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν·
ὄμβρος δ' ἀπ' εὐνάοντος οὐρανοῦ πεσὼν
ἔκυσε γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
μήλων τε βοσκὰς καὶ βίον δημήτριον·
δενδρῶτις ὥρα δ' ἐκ νοτίζοντος γάνους
τέλειός ἐστι. τῶνδ' ἐγὼ παραίτιος.

74. ἐν Ἱππολύτῳ εὐριπιδείῳ πάλιν ἡ Ἀφροδίτη φησίν

ὅσοι τε πόντου τερμόνων τ' ἀτλαντικῶν c
ναίουσιν εἴσω φῶς ὁρῶντες ἡλίου,
τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,
σφάλλω δ' ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.

νεανίσκῳ γὰρ τὴν πᾶσαν ἀρετὴν ἔχοντι τοῦτο μόνον τὸ ἁμάρτημα προσὸν ὅτι οὐκ ἐτίμα τὴν Ἀφροδίτην,

αἴτιον ἐγένετο τοῦ ὀλέθρου· καὶ οὔτε ἡ Ἄρτεμις ἡ περισσῶς ἀγαπήσασα οὔτε τῶν ἄλλων θεῶν τις ἢ δαιμόνων ἐβοήθησεν αὐτῷ. κατὰ τὸν αὐτὸν οὖν ποιητήν

d ὅστις Ἔρωτα μὴ μέγαν κρίνει θεόν,
ἢ σκαιός ἐστιν ἢ καλῶν ἄπειρος ὢν
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

ὃν ὁ σοφὸς ὑμνῶν ἀεί ποτε Ἀνακρέων πᾶσίν ἐστι διὰ στόματος. λέγει οὖν περὶ αὐτοῦ καὶ ὁ κράτιστος Κριτίας τάδε

τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ᾽ ᾠδὰς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ᾽ ἀνῆγε,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
e αὐλῶν ἀντίπαλον φιλοβάρκιτον ἡδὺν ἄλυπον . . .
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται,
ἔς τ᾽ ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσι
παῖς διαπομπεύῃ προπόσεις ἐπιδέξια νωμῶν,
παννυχίδας θ᾽ ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσι,
πλάστιγξ θ᾽ ἡ χαλκοῦ θυγάτηρ ἐπ᾽ ἄκραισι καθίζῃ
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν.

f 75. Ἀρχύτας δὲ ὁ ἁρμονικός, ὥς φησι Χαμαιλέων, Ἀλκμᾶνα γεγονέναι τῶν ἐρωτικῶν μελῶν ἡγεμόνα, καὶ ἐκδοῦναι πρῶτον μέλος ἀκόλαστον ὄντα καὶ περὶ τὰς γυναῖκας καὶ τὴν τοιαύτην μοῦσαν εἰς τὰς διατριβάς. διὸ καὶ λέγειν ἔν τινι τῶν μελῶν

Ἔρος με δαὖτε Κύπριδος ἕκατι
γλυκὺς κατείβων καρδίαν ἰαίνει.

λέγει δὲ καὶ ὡς τῆς Μεγαλοστράτης οὐ μετρίως ἐρασθείη, ποιητρίας μὲν οὔσης δυναμένης δὲ καὶ διὰ τὴν

ὁμιλίαν τοὺς ἐραστὰς προσελκύσασθαι. λέγει δ' οὕ- 601 τως περὶ αὐτῆς

τοῦθ' ἁδεᾶν μωσᾶν ἔδειξε δῶρον
μάκαιρα παρθένων
ἁ ξανθὰ Μεγαλοστράτα.

καὶ Στησίχορος δ' οὐ μετρίως ἐρωτικὸς γενόμενος συνέστησε καὶ τοῦτον τὸν τρόπον τῶν ᾀσμάτων ἃ δὴ καὶ τὸ παλαιὸν ἐκαλεῖτο παιδιὰ καὶ παιδικά. οὕτω δ' ἐναγώνιος ἦν ἡ περὶ τὰ ἐρωτικὰ πραγματεία, καὶ οὐδεὶς ἡγεῖτο φορτικοὺς τοὺς ἐρωτικούς, ὥστε καὶ Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς ἔρωτας, ὃ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον ὃ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν b παίδων· διὸ καὶ παιδεράστριάν τινες καλοῦσι τὴν τραγῳδίαν· κἀπεδέχοντο τὰ τοιαῦτα ᾄσματα οἱ θεαταί.

76. καὶ ὁ Ῥηγῖνος δὲ Ἴβυκος βοᾷ καὶ κέκραγεν

ἦρι μὲν αἵ τε κυδώνιαι
μαλίδες ἀρδόμεναι ῥοᾶν
ἐκ ποταμῶν, ἵνα παρθένων
κᾶπος ἀκήρατος, αἵ τ' οἰνανθίδες
αὐξόμεναι σκιεροῖσιν ὑπ' ἔρνεσιν
οἰναρέοις θαλέθοισιν· ἐμοὶ δ' ἔρος
οὐδεμίαν κατάκοιτος ὥραν, ἅθ' ὑπὸ στεροπᾶς
φλέγων
θρηίκιος βορέας, ἀίσσων παρὰ Κύπριδος
ἀζαλέαις μανίαισιν ἐρεμνὸς ἀθαμβὴς
ἐγκρατέως παιδόθεν φυλάσσει
ἡμετέρας φρένας. c

καὶ Πίνδαρος δ' οὐ μετρίως ὢν ἐρωτικὸς φησίν

εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν·
μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ,
πρᾶξιν.

*διόπερ καὶ ὁ Τίμων ἐν τοῖς σίλλοις ἔφη*

*ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι·*

*καὶ μὴ ἀναμένειν ἕς τ' ἂν ἐκεῖνό τις φθέγξηται κατὰ τὸν αὐτὸν τοῦτον φιλόσοφον*

d *ἡνίκ' ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι.*

*μνησθεὶς δὲ καὶ τοῦ Τενεδίου Θεοξένου ὁ Πίνδαρος, ὃς ἦν αὐτοῦ ἐρώμενος, τί φησι;*

*χρῆν μὲν κατὰ καιρὸν ἐρώτων δρέπεσθαι, θυμέ,*
*σὺν ἁλικίᾳ·*
*τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου μαρμαρι-*
*ζοίσας δρακεὶς*
*ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος*
*ἠὲ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν*
*ψυχρᾷ φλογί, πρὸς δ' Ἀφροδίτας ἀτιμασθεὶς*
*ἑλικοβλεφάρου*
*ἢ περὶ χρήμασι μοχθίζει βιαίως, ἢ γυναικείῳ*
*θράσει*
e *ψυχὰν φορεῖται πᾶσαν ὁδὸν θεραπεύων.*
*ἀλλ' ἐγὼ τᾶσδ' ἕκατι κηρὸς ὣς*
*δαχθεὶς ἑλαιηρᾶν μελισσᾶν*
*τάκομαι, εὖτ' ἂν ἴδω παίδων νεόγυιον ἐς ἥβαν.*
*ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τε ναίει*
*καὶ Χάρις υἱὸν Ἀγησιλάου.*

77. *ὅλως δὲ τοὺς παιδικοὺς ἔρωτας τῶν ἐπὶ ταῖς θηλείαις προκρίνουσι πολλοί. παρὰ γὰρ ταῖς μάλιστα εὐνομουμέναις πόλεσιν ἐπὶ τῆς Ἑλλάδος σπουδασθῆναι τόδε τὸ ἔθος. Κρῆτες γοῦν, ὡς ἔφην, καὶ οἱ ἐν Εὐβοίᾳ Χαλκιδεῖς περὶ τὰ παιδικὰ δαιμονίως ἐπτόηνται. Ἐχεμένης γοῦν ἐν τοῖς Κρητικοῖς οὐ τὸν Δία*
f *φησὶν ἁρπάσαι τὸν Γανυμήδην ἀλλὰ Μίνωα. οἱ δὲ προειρημένοι Χαλκιδεῖς παρ' αὑτοῖς φασὶν ἁρπασθῆναι τὸν Γανυμήδην ὑπὸ τοῦ Διός, καὶ τὸν τόπον*

δεικνύντες Ἁρπάγιον καλοῦσιν, ἐν ᾧ καὶ μυρρίναι διάφοροι πεφύκασιν. καὶ τὴν πρὸς Ἀθηναίους δ' ἔχθραν διελύσατο Μίνως, καίπερ ἐπὶ θανάτῳ παιδὸς συστᾶσαν, Θησέως ἐρασθείς, καὶ τὴν θυγατέρα τούτῳ γυναῖκα ἔδωκε Φαίδραν, ὡς Ζῆνις ἢ Ζηνεύς φησιν ὁ Χῖος ἐν τῷ περὶ τῆς πατρίδος συγγράμματι.

78. Ἱερώνυμος δὲ ὁ περιπατητικὸς περισπου- 602
δάστους φησὶ γενέσθαι τοὺς τῶν παίδων ἔρωτας, ὅτι πολλάκις ἡ τῶν νέων ἀκμὴ καὶ τὸ πρὸς ἀλλήλους ἑταιρικὸν συμφρονῆσαν πολλὰς τυραννίδας καθεῖλε. παίδων γὰρ παρόντων ἐραστὴς πᾶν ὁτιοῦν ἕλοιτ' ἂν παθεῖν ἢ δειλοῦ δόξαν ἀπενέγκασθαι παρὰ τοῖς παιδικοῖς. ἔργῳ γοῦν τοῦτο ἔδειξεν ὁ συνταχθεὶς Θήβησιν ὑπὸ Ἐπαμινώνδου ἱερὸς λόχος, καὶ ὁ κατὰ τῶν Πεισιστρατιδῶν θάνατος ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος γενόμενος· περὶ Σικελίαν δ' ἐν Ἀκράγαντι ὁ Χαρίτωνος καὶ Μελανίππου. Μελάνιππος δ' ἦν τὰ b
παιδικά, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ Ἐρωτικῶν. οὗτοι φανέντες ἐπιβουλεύοντες Φαλάριδι καὶ βασανιζόμενοι ἀναγκαζόμενοί τε λέγειν τοὺς συνειδότας, οὐ μόνον οὐ κατεῖπον, ἀλλὰ καὶ τὸν Φάλαριν αὐτὸν εἰς ἔλεον τῶν βασάνων ἤγαγον, ὡς ἀπολῦσαι αὐτοὺς πολλὰ ἐπαινέσαντα. διὸ καὶ ὁ Ἀπόλλων ἡσθεὶς ἐπὶ τούτοις ἀναβολὴν τοῦ θανάτου τῷ Φαλάριδι ἐχαρίσατο, τοῦτο ἐμφήνας τοῖς πυνθανομένοις τῆς Πυθίας ὅπως αὐτῷ ἐπιθῶνται· ἔχρησέ τε καὶ περὶ τῶν ἀμφὶ τὸν Χαρίτωνα, προτάξας τοῦ ἑξαμέτρου c
τὸ πεντάμετρον, καθάπερ ὕστερον καὶ Διονύσιος ὁ Ἀθηναῖος ἐποίησεν ὁ ἐπικληθεὶς χαλκοῦς ἐν τοῖς ἐλεγείοις. ἐστὶ δὲ ὁ χρησμὸς ὅδε

εὐδαίμων Χαρίτων καὶ Μελάνιππος ἔφυ,
θείας ἁγητῆρες ἐφαμερίοις φιλότατος.

διαβόητα δ' ἐστὶ καὶ τὰ ἐπὶ Κρατίνῳ τῷ Ἀθηναίῳ γενόμενα· ὃς μειράκιον ὢν εὔμορφον, Ἐπιμενίδου καθαίροντος τὴν Ἀττικὴν ἀνθρωπείῳ αἵματι διά τινα μύση παλαιά, ὡς ἱστορεῖ Νεάνθης ὁ Κυζικηνὸς ἐν δευτέρῳ περὶ τελετῶν, ἑκὼν αὑτὸν ἐπέδωκεν ὁ Κρα-
d τῖνος ὑπὲρ τῆς θρεψαμένης· ᾧ καὶ ἐπαπέθανεν ὁ ἐραστὴς Ἀριστόδημος, λύσιν τ' ἔλαβε τὸ δεινόν. διὰ τοὺς τοιούτους οὖν ἔρωτας οἱ τύραννοι, πολέμιοι γὰρ αὐτοῖς αὗται αἱ φιλίαι, τὸ παράπαν ἐκώλυον τοὺς παιδικοὺς ἔρωτας, πανταχόθεν αὐτοὺς ἐκκόπτοντες. εἰσὶ δὲ οἳ καὶ τὰς παλαίστρας ὥσπερ ἀντιτειχίσματα ταῖς ἰδίαις ἀκροπόλεσιν ἐνεπίμπρασάν τε καὶ κατέσκαψαν· ὡς ἐποίησε Πολυκράτης ὁ Σαμίων τύραννος.

79. παρὰ δὲ Σπαρτιάταις, ὡς Ἅγνων φησὶν ὁ
e ἀκαδημιακός, πρὸ τῶν γάμων ταῖς παρθένοις ὡς παιδικοῖς νόμος ἐστὶν ὁμιλεῖν. καὶ γὰρ ὁ νομοθέτης Σόλων ἔφη

μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

Αἰσχύλος τε καὶ Σοφοκλῆς ἀναφανδὸν ἔφασαν, ὃ μὲν Μυρμιδόσι

σέβας δὲ μηρῶν ἁγνὸν οὐκ ἐπῃδέσω,
ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.

ὃ δ' ἐν Κολχίσι περὶ Γανυμήδους τινὰ λόγον ποιούμενος

μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα.

οὐκ ἀγνοῶ δὲ ὅτι τὰ περὶ Κρατίνου καὶ Ἀριστοδήμου
f πεπλάσθαι φησὶ Πολέμων ὁ περιηγητὴς ἐν ταῖς πρὸς τὸν Νεάνθην ἀντιγραφαῖς. ὑμεῖς δέ, ὦ Κύνουλκε, τὰς διηγήσεις ταύτας, κἂν ψευδεῖς ὦσιν, ἀληθεῖς εἶναι πιστεύετε· καὶ τὰ τοιαῦτα τῶν ποιημάτων, ἃ περὶ τοὺς παιδικούς ἐστιν ἔρωτας, ἡδέως μελετᾶτε· τοῦ

παιδεραστεῖν παρὰ πρώτων Κρητῶν εἰς τοὺς Ἕλληνας
παρελθόντος, ὡς ἱστορεῖ Τίμαιος. ἄλλοι δέ φασι τῶν
τοιούτων ἐρώτων κατάρξασθαι Λάιον ξενωθέντα παρὰ
Πέλοπι καὶ ἐρασθέντα τοῦ υἱοῦ αὐτοῦ Χρυσίππου, 603
ὃν καὶ ἁρπάσαντα καὶ ἀναθέμενον εἰς ἅρμα εἰς Θήβας
φυγεῖν. Πράξιλλα δὲ ἡ Σικυωνία ὑπὸ Διός φησιν
ἁρπασθῆναι τὸν Χρύσιππον. καὶ Κελτοὶ δὲ τῶν βαρ-
βάρων καίτοι καλλίστας ἔχοντες γυναῖκας παιδικοῖς
μᾶλλον χαίρουσιν, ὡς πολλάκις ἐνίους ἐπὶ ταῖς δο-
ραῖς μετὰ δύο ἐρωμένων ἀναπαύεσθαι. Πέρσας δὲ
παρ' Ἑλλήνων φησὶν Ἡρόδοτος μαθεῖν τὸ παισὶ
χρῆσθαι.

80. φιλόπαις δ' ἦν ἐκμανῶς καὶ Ἀλέξανδρος ὁ
βασιλεύς. Δικαίαρχος γοῦν ἐν τῷ περὶ τῆς ἐν Ἰλίῳ
θυσίας Βαγώου τοῦ εὐνούχου οὕτως αὐτόν φησιν ἡτ- b
τᾶσθαι ὡς ἐν ὄψει θεάτρου ὅλου καταφιλεῖν αὐτὸν
ἀνακλάσαντα, καὶ τῶν θεατῶν ἐπιφωνησάντων μετὰ
κρότου οὐκ ἀπειθήσας πάλιν ἀνακλάσας ἐφίλησεν.
Καρύστιος δ' ἐν ἱστορικοῖς ὑπομνήμασι Χάρωνι
(φησὶ) τῷ Χαλκιδεῖ παῖς καλὸς ἦν καὶ εἶχεν εὖ πρὸς
αὐτόν. ὡς δ' Ἀλέξανδρος παρὰ Κρατερῷ αὐτὸν ἐπή-
νεσε γενομένου ποτὲ πότου, ὁ Κρατερὸς ἐκέλευσε τὸν
παῖδα καταφιλῆσαι τὸν Ἀλέξανδρον· καὶ ὅς, μηδα-
μῶς, εἶπεν, οὐ γὰρ οὕτως ἐμὲ εὐφρανεῖ, ὡς σὲ λυ-
πήσει. ὥσπερ γὰρ ἦν ἐρωτικὸς ὁ βασιλεὺς οὗτος, οὕ- c
τως καὶ πρὸς τὸ καθῆκον ἐγκρατὴς καὶ πρὸς τὸ πρέ-
πον αἰδοιέστατος. αἰχμαλώτους γοῦν λαβὼν τὰς Δα-
ρείου θυγατέρας καὶ τὴν γυναῖκα κάλλει διαπρεπε-
στάτην οὖσαν, οὐ μόνον ἀπέσχετο, ἀλλ' οὐδ' ἐκείνας
μαθεῖν ἐποίησεν ὅτι εἰσὶν αἰχμάλωτοι, ἀλλ' ὡς ἔτι
Δαρείου ἐν τῇ βασιλείᾳ ὄντος πάντα αὐταῖς χορη-
γεῖσθαι ἐκέλευσε. διόπερ καὶ Δαρεῖος τοῦτο μαθὼν

ηὔξατο τῷ ἡλίῳ τὰς χεῖρας ἀνατείνας ἢ αὐτὸν βασι-
d λεύειν ἢ Ἀλέξανδρον.' Ῥαδαμάνθυος δὲ τοῦ δικαίου Ἴβυκος ἐραστήν φησι γενέσθαι Τάλων. Διότιμος δ' ἐν τῇ Ἡρακλείᾳ Εὐρυσθέα φησὶν Ἡρακλέους γενέσθαι παιδικά, διόπερ καὶ τοὺς ἄθλους ὑπομεῖναι. Ἀγαμέμνονά τε Ἀργύννου ἐρασθῆναι λόγος, ἰδόντα ἐπὶ τῷ Κηφισῷ νηχόμενον· ἐν ᾧ καὶ τελευτήσαντα αὐτόν, συνεχῶς γὰρ ἐν τῷ ποταμῷ τούτῳ ἀπελούετο, θάψας εἵσατο καὶ ἱερὸν αὐτόθι Ἀφροδίτης Ἀργυννίδος. Λικύμνιος δὲ ὁ Χῖος ἐν διθυράμβοις Ἀργύννου φησὶν ἐρώμενον Ὑμέναιον γενέσθαι. Ἀντιγόνου δὲ τοῦ βασιλέως ἐρώμενος ἦν Ἀριστοκλῆς ὁ κιθαρῳδός,
e περὶ οὗ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ Ζήνωνος βίῳ γράφει οὕτως· 'Ἀντίγονος ὁ βασιλεὺς ἐπεκώμαζε τῷ Ζήνωνι. καί ποτε καὶ μεθ' ἡμέραν ἐλθὼν ἔκ τινος πότου καὶ ἀναπηδήσας πρὸς τὸν Ζήνωνα, ἔπεισεν αὐτὸν συγκωμάσαι αὐτῷ πρὸς Ἀριστοκλέα τὸν κιθαρῳδόν, οὗ σφόδρα ἤρα ὁ βασιλεύς.'

81. φιλομεῖραξ δὲ ἦν ὁ Σοφοκλῆς, ὡς Εὐριπίδης φιλογύνης. Ἴων γοῦν ὁ ποιητὴς ἐν ταῖς ἐπιγραφομέναις Ἐπιδημίαις γράφει οὕτως· 'Σοφοκλέϊ τῷ ποιητῇ
f ἐν Χίῳ συνήντησα, ὅτε ἔπλεε ἐς Λέσβον στρατηγός, ἀνδρὶ παιδιώδεϊ παρ' οἶνον καὶ δεξιῷ. Ἑρμησίλεω δὲ ξείνου οἱ ἐόντος καὶ προξείνου Ἀθηναίων ἱστιῶντος αὐτόν, ἐπεὶ παρὰ τὸ πῦρ ἑστεὼς ὁ τὸν οἶνον ἐγχέων παῖς . . . ἐὼν δῆλος ἦν εἶπέ τε· βούλει με ἡδέως πίνειν; φάντος δ' αὐτοῦ, βραδέως τοίνυν καὶ πρόσφερέ μοι καὶ ἀπόφερε τὴν κύλικα. ἔτι πολὺ μᾶλλον ἐρυθριήσαντος τοῦ παιδὸς εἶπε πρὸς τὸν συγκατακείμενον, ὡς καλῶς Φρύνιχος ἐποίησεν εἴπας

604 λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσι φῶς ἔρωτος.'

καὶ πρὸς τόδε ἠμείφθη ὁ Ἐρετριεὺς [ἢ Ἐρυθραῖος]
γραμμάτων ἐὼν διδάσκαλος ‘σοφὸς μὲν δὴ σύ γε εἶ,
ὦ Σοφόκλεες, ἐν ποιήσι· ὅμως μέντοι γε οὐκ εὖ εἴ-
ρηκε Φρύνιχος πορφυρέας εἰπὼν τὰς γνάθους τοῦ
καλοῦ. εἰ γὰρ ὁ ζωγράφος χρώματι πορφυρέῳ ἐναλεί-
ψειε τοῦδε τοῦ παιδὸς τὰς γνάθους, οὐκ ἂν ἔτι καλὸς
φαίνοιτο. οὐ κάρτα δεῖ τὸ καλὸν τῷ μὴ καλῷ φαινο-
μένῳ εἰκάζειν.’ καὶ γελάσας ἐπὶ τῷ Ἐρετριέϊ Σοφο-
κλέης ‘οὐδὲ τόδε σοι ἀρέσκει ἄρα, ὦ ξεῖνε, τὸ Σιμω- b
νιδήιον κάρτα δοκέον τοῖσι Ἕλλησι εὖ εἰρῆσθαι

πορφυρέου [ἀπὸ] στόματος ἱεῖσα φωνὰν παρθένος.

οὐδ᾽ ὁ ποιητής, ἔφη, λέγων χρυσοκόμαν Ἀπόλ-
λωνα· χρυσέας γὰρ εἰ ἐποίησεν ὁ ζωγράφος τὰς τοῦ
θεοῦ κόμας καὶ μὴ μελαίνας, χεῖρον ἂν ἦν τὸ ζωγρά-
φημα. οὐδὲ ὁ φὰς ῥοδοδάκτυλον· εἰ γάρ τις ἐς ῥό-
δεον χρῶμα βάψειε τοὺς δακτύλους, πορφυροβάφου
χέρας καὶ οὐ γυναικὸς καλῆς ποιήσει.’ ἐκγελασάντων
δὲ ὁ μὲν Ἐρετριεὺς ἐνωπήθη τῇ ἐπιραπίξι, ὃ δὲ πάλιν c
τοῦ παιδὸς τῶν λόγων εἴχετο. εἴρετο γάρ μιν ἀπὸ τῆς
κύλικος κάρφος τῷ μικρῷ δακτύλῳ ἀπαιρετέοντα, εἰ
κατορᾷ τὸ κάρφος. φάντος δὲ κατορᾶν, ἄπο τοίνυν
φύσησον αὐτό· ἵνα μὴ πλύνοιτο ὁ δάκτυλος εὖ. προσ-
αγαγόντος δ᾽ αὐτοῦ τὸ πρόσωπον πρὸς τὴν κύλικα,
ἐγγυτέρω τὴν κύλικα τοῦ ἑωυτοῦ στόματος ἦγε, ἵνα
δὴ ἡ κεφαλὴ τῇ κεφαλῇ ἀσσοτέρω γένηται. ὡς δ᾽ ἦν
οἱ κάρτα πλησίον, προσλαβὼν τῇ χερὶ ἐφίλησε. ἐπι-
κροτησάντων δὲ πάντων ξὺν γέλωτι καὶ βοῇ ὡς εὖ
ὑπηγάγετο τὸν παῖδα, μελετῶ, εἶπε, στρατηγέειν, ὦ d
ἄνδρες, ἐπειδήπερ Περικλέης ποιέειν με ἔφη, στρα-
τηγέειν δ᾽ οὐκ ἐπίστασθαι. ἆρ᾽ ὦν οὐ κατ᾽ ὀρθόν μοι
πέπτωκε τὸ στρατήγημα; τοιαῦτα πολλὰ δεξιῶς ἔλεγέ
τε καὶ ἔπρησσεν, ὅτε πίνοι ἢ παίζοι. τὰ μέντοι πολι-

τικὰ οὔτε σοφὸς οὔτε ῥεκτήριος ἦν, ἀλλ᾽ ὡς ἄν τις εἷς τῶν χρηστῶν Ἀθηναίων.'

82. καὶ Ἱερώνυμος δ' ὁ Ῥόδιος ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασί φησιν ὅτι Σοφοκλῆς εὐπρεπῆ παῖδα ἔξω τείχους ἀπήγαγε χρησόμενος αὐτῷ. ὁ μὲν οὖν παῖς e τὸ ἴδιον ἱμάτιον ἐπὶ τῇ πόᾳ ὑπέστρωσε, τὴν δὲ τοῦ Σοφοκλέους χλανίδα περιεβάλοντο. μετ' οὖν τὴν ὁμιλίαν ὁ παῖς ἁρπάσας τὸ τοῦ Σοφοκλέους χλανίδιον ᾤχετο, καταλιπὼν τῷ Σοφοκλεῖ τὸ ἑαυτοῦ παιδικὸν ἱμάτιον. οἷα δὲ εἰκὸς διαλαληθέντος τοῦ συμβεβηκότος, Εὐριπίδης πυθόμενος καὶ ἐπιτωθάζων τὸ γεγονὸς καὶ αὐτός ποτε ἔφη τούτῳ κεχρῆσθαι τῷ παιδί, ἀλλὰ μηδὲν προσθεῖναι, τὸν δὲ Σοφοκλέα διὰ τὴν ἀκολασίαν καταφρονηθῆναι. καὶ ὁ Σοφοκλῆς ἀκού-f σας ἐποίησεν εἰς αὐτὸν τοιοῦτον ἐπίγραμμα, χρησάμενος τῷ περὶ τοῦ Ἡλίου καὶ Βορέου λόγῳ, καὶ τὸ πρὸς μοιχείαν αὐτοῦ παραινιττόμενος

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦντι ἑτέραν
Βορρᾶς ὡμίλησε. σὺ δ' οὐ σοφός, ὃς τὸν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

83. Θεόπομπος δ' ἐν τῷ περὶ τῶν συληθέντων ἐκ
605 Δελφῶν χρημάτων Ἀσώπιχόν φησι τὸν Ἐπαμινώνδου ἐρώμενον τὸ λευκτρικὸν τρόπαιον ἐντετυπωμένον ἔχειν ἐπὶ τῆς ἀσπίδος, καὶ θαυμαστῶς αὐτὸν κινδυνεύειν· ἀνακεῖσθαι δὲ τὴν ἀσπίδα ταύτην ἐν Δελφοῖς ἐν τῇ στοᾷ. ἐν δὲ τῷ αὐτῷ συγγράμματι Θεόπομπος φιλογύναιον μέν φησι γεγονέναι Φάυλλον τὸν Φωκέων τύραννον, φιλόπαιδα δὲ Ὀνόμαρχον· καὶ ἐκ τῶν τοῦ θεοῦ χαρίσασθαι τοῦτον εἰς Δελφοὺς παραγενομένῳ τῷ Πυθοδώρου τοῦ Σικυωνίου υἱῷ
b ἀποκειρομένῳ τὴν κόμην ὄντι καλῷ συγγενόμενον τὰ

Συβαριτῶν ἀναθήματα, στλεγγίδια χρυσᾶ τέσσαρα. τῇ Δεινιάδου δὲ αὐλητρίδι Βρομιάδ ί Φάυλλος καρχήσιον ἀργυροῦν Φωκαέων καὶ στέφανον χρυσοῦν κιττοῦ Πεπαρηθίων. αὐτὴ δέ, φησί, καὶ ἔμελλε τὰ πύθια αὐλεῖν, εἰ μὴ ὑπὸ τοῦ πλήθους ἐκωλύθη. τῷ δὲ Λυκόλᾳ τῷ τοῦ Τριχολέου υἱῷ Φυσκίδᾳ ὄντι καλῷ Ὀνόμαρχος ἔδωκε, φησί, στέφανον δάφνης, Ἐφεσίων ἀνάθημα. οὗτος ὁ παῖς πρὸς Φίλιππον ἀχθεὶς ὑπὸ τοῦ πατρὸς κἀκεῖ προαγωγευόμενος οὐδὲν λαβὼν ἀπεστάλη. τῷ Ἐπιλύκου τοῦ Ἀμφιπολίτου υἱῷ ὄντι c καλῷ Δαμίππῳ . . . Κλεισθένους ἀνάθημα Ὀνόμαρχος ἔδωκε. Φαρσαλίᾳ τῇ Θεσσαλίδι ὀρχηστρίδι δάφνης στέφανον χρυσοῦν Φιλόμηλος ἔδωκε, Λαμψακηνῶν ἀνάθημα. αὕτη ἡ Φαρσαλία ἐν Μεταποντίῳ ὑπὸ τῶν ἐν τῇ ἀγορᾷ μάντεων, γενομένης φωνῆς ἐκ τῆς δάφνης τῆς χαλκῆς, ἣν ἔστησαν Μεταποντῖνοι κατὰ τὴν Ἀριστέα τοῦ Προκοννησίου ἐπιδημίαν, ὅτε ἔφησεν ἐξ Ὑπερβορέων παραγεγονέναι, ὡς τάχιστα ὤφθη εἰς τὴν ἀγορὰν ἐμβαλοῦσα, ἐμμανῶν γενομένων τῶν d μάντεων, διεσπάσθη ὑπ' αὐτῶν. καὶ τῶν ἀνθρώπων ὕστερον ἀναζητούντων τὴν αἰτίαν εὑρέθη διὰ τὸν τοῦ θεοῦ στέφανον ἀνῃρημένη.'

84. ὁρᾶτε οὖν καὶ ὑμεῖς οἱ φιλόσοφοι οἱ παρὰ φύσιν τῇ Ἀφροδίτῃ χρώμενοι καὶ ἀσεβοῦντες εἰς τὴν θεὸν μὴ τὸν αὐτὸν διαφθαρῆτε τρόπον. τότε γὰρ καὶ οἱ παῖδές εἰσι καλοί, ὡς Γλυκέρα ἔφασκεν ἡ ἑταίρα, ὅσον ἐοίκασι γυναικὶ χρόνον, καθάπερ ἱστορεῖ Κλέαρχος. ἐμοὶ μὲν γὰρ καὶ κατὰ φύσιν δοκεῖ πεποιηκέναι Κλεώνυμος ὁ Σπαρτιάτης πρῶτος ἀνθρώπων e εἰς ὁμηρείαν λαβὼν παρὰ Μεταποντίνων γυναῖκας, παρθένους τὰς ἐνδοξοτάτας καὶ καλλίστας διακοσίας, ὡς ἱστορεῖ Δοῦρις ὁ Σάμιος ἐν τῇ τρίτῃ τῶν περὶ

Ἀγαθοκλέα ἱστοριῶν. κἀγὼ δὲ κατὰ τὴν Ἐπικράτους Ἀντιλαΐδα

τἀρωτίκ' ἐκμεμάθηκα ταῦτα παντελῶς
Σαπφοῦς Μελήτου Κλεομένους Λαμυνθίου.

ὑμεῖς δέ, ὦ φιλόσοφοι, κἂν ἐρασθέντες ποτὲ γυναικῶν ἐν ἐννοίᾳ λάβητε, ὡς ἀδύνατόν ἐστι τὸ τυχεῖν μάθετε . . . παύονται οἱ ἔρωτες, ὥς φησι Κλέαρχος. τῇ τε γὰρ περὶ τὴν Πειρήνην χαλκῇ βοὶ βοῦς
f ἐπανέβη, καὶ γεγραμμένῃ κυνὶ καὶ περιστερᾷ καὶ χηνὶ τῇ μὲν κύων τῇ δὲ περιστερὰ τῇ δὲ χὴν προσῆλθον καὶ ἐπεπήδησαν· φανέντων δὲ πᾶσι τούτοις ἀδυνάτων ἀπέστησαν, καθάπερ Κλείσοφος ὁ Σηλυμβριανός. οὗτος γὰρ τοῦ ἐν Σάμῳ παρίου ἀγάλματος ἐρασθεὶς κατέκλεισεν αὑτὸν ἐν τῷ ναῷ ὡς πλησιάσαι δυνησόμενος, καὶ ὡς ἠδυνάτει διὰ τὴν ἰσχυρότητα καὶ τὸ ἀντίτυπον τοῦ λίθου, τηνικαῦτα τῆς ἐπιθυμίας ἀπέστη, καὶ προβαλλόμενός τι σαρκίον ἐπλησίασε. τῆς πράξεως ταύτης μνημονεύει καὶ Ἄλεξις ὁ ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ δράματι Γραφὴ λέγων ὧδε

606 γεγένηται δ', ὡς λέγουσι, κἀν Σάμῳ
τοιοῦθ' ἕτερον. λιθίνης ἐπεθύμησεν κόρης
ἄνθρωπος ἐγκατέκλεισέ θ' αὑτὸν τῷ νεῴ.

καὶ Φιλήμων τοῦ αὐτοῦ μνημονεύων φησίν

ἀλλ' ἐν Σάμῳ μὲν τοῦ λιθίνου ζῴου ποτὲ
ἄνθρωπος ἠράσθη τις, εἶτ' εἰς τὸν νεὼν
κατέκλεισεν αὑτόν.

Κτησικλέους δέ ἐστιν ἔργον τὸ ἄγαλμα, ὥς φησιν Ἀδαῖος ὁ Μυτιληναῖος ἐν τῷ περὶ ἀγαλματοποιῶν. Πολέμων δὲ ἢ ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ἑλλαδι-
b κόν 'ἐν Δελφοῖς (φησὶν) ἐν τῷ Σπινατῶν θησαυρῷ παῖδές εἰσι λίθινοι δύο, ὧν τοῦ ἑτέρου Δελφοί φασι τῶν θεωρῶν ἐπιθυμήσαντά τινα συγκατακλεισθῆναι

καὶ τῆς ὁμιλίας καταλιπεῖν στέφανον. φωραθέντος δ' αὐτοῦ τὸν θεὸν χρωμένοις τοῖς Δελφοῖς συντάξαι ἀφεῖναι τὸν ἄνθρωπον· δεδωκέναι γὰρ αὐτῷ μισθόν.'

85. καὶ ἄλογα δὲ ζῷα ἀνθρώπων ἠράσθη· Σεκούνδου μέν τινος βασιλικοῦ οἰνοχόου ἀλεκτρυών· ἐκαλεῖτο δὲ ὁ μὲν ἀλεκτρυὼν κένταυρος, ὁ δὲ Σεκοῦνδος ἦν οἰκέτης Νικομήδους τοῦ Βιθυνῶν βασιλέως, ὡς ἱστορεῖ Νίκανδρος ἐν ἕκτῳ Περιπετειῶν. ἐν c Αἰγίῳ δὲ παιδὸς ἠράσθη χήν, ὡς Κλέαρχος ἱστορεῖ ἐν πρώτῳ Ἐρωτικῶν. τὸν δὲ παῖδα τοῦτον Θεόφραστος ἐν τῷ Ἐρωτικῷ Ἀμφίλοχον καλεῖσθαί φησι καὶ τὸ γένος Ὠλένιον εἶναι. Ἑρμείας δὲ ὁ τοῦ Ἑρμοδώρου, Σάμιος δὲ γένος, ἐρασθῆναι χῆνα Λακύδους τοῦ φιλοσόφου. ἐν δὲ Λευκαδίᾳ φησὶ Κλέαρχος οὕτως ἐρασθῆναι ταὼν παρθένου ὡς καὶ τὸν βίον ἐκλιπούσῃ συναποθανεῖν. δελφῖνα δ' ἐν Ἰασῷ παιδὸς ἐρασθῆναι λόγος, ὡς ἱστορεῖ Δοῦρις ἐν τῇ ἐνάτῃ. ὁ δὲ λόγος ἐστὶν αὐτῷ ὁ περὶ Ἀλεξάνδρου, καὶ λέγει οὕτως d 'μετεπέμψατο δὲ καὶ τὸν ἐκ τῆς Ἰασοῦ παῖδα. περὶ γὰρ τὴν πόλιν ταύτην Διονύσιός τις ἦν παῖς, ὃς μετὰ τῶν ἄλλων ἐκ παλαίστρας παραγενόμενος ἐπὶ τὴν θάλατταν ἐκολύμβα. δελφὶς δὲ πρὸς αὐτὸν ἐκ τοῦ πελάγους ἀπήντα καὶ ἀναλαμβάνων ἐπὶ τὰ νῶτα ἔφερεν ἐπὶ πλεῖστον νηχόμενος καὶ πάλιν ἀποκαθίστα εἰς τὴν γῆν.' φιλανθρωπότατον δέ ἐστι καὶ συνετώτατον τὸ ζῷον ὁ δελφὶς χάριν τε ἀποδιδόναι ἐπιστάμενον. Φύλαρχος γοῦν ἐν τῇ δωδεκάτῃ 'Κοίρανος (φησὶν) ὁ Μιλήσιος ἰδὼν ἁλιέας τῷ δικτύῳ λαβόντας e δελφῖνα καὶ μέλλοντας κατακόπτειν ἀργύριον δοὺς καὶ παραστησάμενος ἀφῆκεν εἰς τὸ πέλαγος. καὶ μετὰ ταῦτα ναυαγίᾳ χρησάμενος περὶ Μύκονον καὶ πάν-

των ἀπολομένων μόνος ὑπὸ δελφῖνος ἐσώθη ὁ Κοί-
ρανος. τελευτήσαντος δὲ αὐτοῦ γηραιοῦ ἐν τῇ πατρίδι
καὶ τῆς ἐκφορᾶς παρὰ τὴν θάλατταν γιγνομένης κατὰ
τύχην ἐν τῇ Μιλήτῳ, ἐν τῷ λιμένι πλῆθος δελφίνων
ἐφάνη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μικρὸν ἀπωτέρω τῶν συν-
f ἐκκομιζόντων τὸν Κοίρανον, ὡσεὶ συνεκφερόντων καὶ
συγκηδευόντων τὸν ἄνθρωπον.' ὁ δ' αὐτὸς ἱστορεῖ
Φύλαρχος διὰ τῆς εἰκοστῆς ὅσην ἐλέφας τὸ ζῷον φι-
λοστοργίαν ἔσχεν εἰς παιδίον. γράφει δ' οὕτως
'τούτῳ δὲ τῷ ἐλέφαντι συνετρέφετο θήλεια ἐλέφας
ἣν Νίκαιαν ἐκάλουν, ᾧ τελευτῶσα ἡ τοῦ Ἰνδοῦ γυνὴ
παιδίον αὐτῆς τριακοσταῖον παρακατέθετο. ἀποθα-
νούσης δὲ τῆς ἀνθρώπου δεινή τις φιλοστοργία γέ-
γονε τοῦ θηρίου πρὸς τὸ παιδίον. οὔτε γὰρ ἀπ' αὐ-
τοῦ χωριζόμενον τὸ βρέφος ὑπέμενεν, ὃ δὲ εἰ μὴ βλέ-
ποι τὸ παιδίον ἤσχαλλεν. ὅτ' οὖν ἡ τροφὸς ἐμπλή-
σειεν αὐτὸ τοῦ γάλακτος, ἀνὰ μέσον τῶν ποδῶν τοῦ
607 θηρίου ἐτίθει αὐτὸ ἐν σκάφῃ. εἰ δὲ μὴ τοῦτο πεποι-
ήκοι, τροφὴν οὐκ ἐλάμβανεν ἡ ἐλέφας. καὶ μετὰ ταῦτα
δι' ὅλης τῆς ἡμέρας τοὺς καλάμους λαμβάνων τῶν
παρατιθεμένων χορτασμάτων καθεύδοντος τοῦ βρέ-
φους τὰς μυίας ἀπεσόβει, ὅτε δὲ κλαίοι, τῇ προβοσκίδι
τὴν σκάφην ἐκίνει καὶ κατεκοίμιζεν αὐτό. τὸ δ' αὐτὸ
ἐποίει καὶ ὁ ἄρρην ἐλέφας πολλάκις.'

86. ὑμεῖς δέ, ὦ φιλόσοφοι, καὶ τῶν δελφίνων
καὶ τῶν ἐλεφάντων ἐστὲ κατὰ τὴν γνώμην ἀγριώτεροι,
b ἔτι δὲ ἀνημερώτεροι, καίτοι Περσαίου τοῦ Κιτιέως
ἐν τοῖς συμποτικοῖς ὑπομνήμασι βοῶντος καὶ λέγοντος
'περὶ ἀφροδισίων ἁρμοστὸν εἶναι ἐν τῷ οἴνῳ μνείαν
ποιεῖσθαι· καὶ γὰρ πρὸς ταῦτα ἡμᾶς, ὅταν ὑποπίω-
μεν, ἐπιρρεπεῖς εἶναι. καὶ ἐνταῦθα τοὺς μὲν ἡμέρως
τε καὶ μετρίως αὐτοῖς χρωμένους ἐπαινεῖν δεῖ, τοὺς

δὲ θηριωδῶς καὶ ἀπλήστως ψέγειν. καὶ εἰ διαλεκτικοὶ συνελθόντες εἰς πότον περὶ συλλογισμῶν διαλέγοιντο, ἀλλοτρίως ἂν αὐτοὺς ὑπολάβοι τις ποιεῖν τοῦ παρόντος καιροῦ. καὶ ὁ καλὸς κἀγαθὸς ἀνὴρ μεθυσθείη ἄν. οἱ δὲ βουλόμενοι σωφρονικοὶ εἶναι σφόδρα μέχρι τινὸς διατηροῦσιν ἐν τοῖς πότοις τὸ τοιοῦτον c · εἶθ᾽ ὅταν παραδύῃ τὸ οἰνάριον, τὴν πᾶσαν ἀσχημοσύνην ἐπιδείκνυνται. ὃ καὶ πρῴην ἐγένετο ἐπὶ τῶν ἐξ Ἀρκαδίας θεωρῶν πρὸς Ἀντίγονον παραγενομένων. ἐκεῖνοι γὰρ ἠρίστων σφόδρα σκυθρωπῶς καὶ εὐσχημόνως, ὡς ᾤοντο, οὐχ ὅτι ἡμῶν τινα προσβλέποντες, ἀλλ᾽ οὐδὲ ἀλλήλους. ὡς δὲ ὁ πότος προέβαινε καὶ εἰσῆλθεν ἄλλα τε ἀκροάματα καὶ αἱ Θετταλαὶ αὗται ὀρχηστρίδες, καθάπερ αὐταῖς ἔθος ἐστίν, ἐν ταῖς διαζώστραις γυμναὶ ὠρχοῦντο, οὐκ ἔτι κατεῖχον αὑτοὺς οἱ ἄνδρες, ἀλλὰ ἐκ τῶν κλινῶν ἀνώρμων καὶ d ἐβόων ὡς θαυμαστόν τι θέαμα θεώμενοι· καὶ μακάριον τὸν βασιλέα ἀπεκάλουν, ὅτι ἔξεστιν αὐτῷ τούτων ἀπολαύειν· καὶ ἕτερα τούτοις παραπλήσια πάνυ πολλὰ τῶν φορτικῶν ἐποίουν. τῶν φιλοσόφων δέ τις συμπίνων ἡμῖν εἰσελθούσης αὐλητρίδος, καὶ οὔσης εὐρυχωρίας παρ᾽ αὐτῷ, βουλομένης τῆς παιδίσκης παρακαθίσαι, οὐκ ἐπέτρεψεν ἀλλὰ σκληρὸν αὑτὸν εἰσῆγεν. εἶθ᾽ ὕστερον πωλουμένης τῆς αὐλητρίδος, καθάπερ ἔθος ἐστὶν ἐν τοῖς πότοις γίνεσθαι, ἐν τῷ ἀγοράζειν e πάνυ νεανικὸς ἦν· καὶ τῷ πωλοῦντι ἄλλῳ τινὶ θᾶττον προσθέντι ἠμφισβήτει, καὶ οὐκ ἔφη αὐτὸν πεπρακέναι· καὶ τέλος εἰς πυγμὰς ἦλθεν ὁ σκληρὸς ἐκεῖνος φιλόσοφος καὶ ἐν ἀρχῇ οὐδ᾽ ἂν παρακαθίσαι ἐπιτρέπων τῇ αὐλητρίδι.᾽ μήποτε αὐτός ἐστιν ὁ Περσαῖος ὁ περὶ τῆς αὐλητρίδος διαπυκτεύσας. φησὶ γὰρ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ περὶ Ζήνωνος γράφων

ὧδε ‛Ζήνων ὁ Κιτιεύς, Περσαίου παρὰ πότον αὐλητρίδιον πριαμένου, διοκνοῦντος εἰσαγαγεῖν πρὸς αὐτὸν διὰ τὸ τὴν αὐτὴν οἰκεῖν οἰκίαν, συναισθόμενος f συνείλκυσε τὴν παιδίσκην καὶ συγκατέκλεισε τῷ Περσαίῳ.’ οἶδα δὲ καὶ Πολύστρατον τὸν Ἀθηναῖον, μαθητὴν δὲ Θεοφράστου, τὸν ἐπικαλούμενον Τυρρηνόν, ὅτι τῶν αὐλητρίδων τὰ ἱμάτια περιέδυεν.

87. ἐσπουδάκεσαν δὲ καὶ οἱ βασιλεῖς περὶ τὰς μουσουργούς, ὡς δῆλον ποιεῖ Παρμενίων ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπιστολῇ, ἣν ἐπέστειλεν αὐτῷ μετὰ τὸ Δαμασκὸν ἑλεῖν καὶ τῆς ἀποσκευῆς τῆς Δαρείου ἐγκρατὴς γενέσθαι. καταριθμησάμενος οὖν τὰ αἰχμάλωτα γράφει καὶ ταῦτα ‛παλλακίδας εὗρον μουσουρ- 608 γοὺς τοῦ βασιλέως τριακοσίας εἴκοσιν ἐννέα, ἄνδρας στεφανοπλόκους ἓξ καὶ τεσσαράκοντα, ὀψοποιοὺς διακοσίους ἑβδομήκοντα ἑπτά, χυτρεψοὺς εἴκοσιν ἐννέα, γαλακτουργοὺς τρεῖς καὶ δέκα, ποτηματοποιοὺς ἑπτακαίδεκα, οἰνοηθητὰς ἑβδομήκοντα, μυροποιοὺς τεσσαράκοντα.’ καὶ ὑμῖν δέ, ὦ ἑταῖροι, λέγω ὅτι οὐδέν ἐστιν ὀφθαλμῶν οὕτως εὐφραντικὸν ὡς γυναικὸς κάλλος. ὁ γοῦν τοῦ τραγικοῦ Χαιρήμονος Οἰνεὺς περὶ παρθένων τινῶν διηγούμενος ὧν ἐτεθέατο φησὶν ἐν τῷ ὁμωνύμῳ δράματι

b ὑπνωμέναι δ’ ἔπιπτον ἑλενίων ἔπι,
ἴων τε μελανόφυλλα συγκλῶσαι πτερὰ
κρόκον θ’, ὃς ἡλιῶδες εἰς ὑφάσματα
πέπλων σκιᾶς εἴδωλον ἐξωμόργνυτο,
[ἕρσῃ δὲ θαλερὸς ἐκτραφεὶς ἀμάρακος]
λειμῶσι μαλακοῖς ἐξέτεινον αὐχένας.
ἔκειτο δ’ ἣ μὲν λευκὸν εἰς σεληνόφως
φαίνουσα μαστὸν λελυμένης ἐπωμίδος·
τῆς δ’ αὖ χορεία λαγόνα τὴν ἀριστερὰν

ἔλυσε· γυμνῆς δ' αἰθέρος θεάμασιν c
ζῶσαν γραφὴν ἔφαινε, χρῶμα δ' ὄμμασιν
λευκὸν μελαίνῃ στέρνον ἀντηύγει σκιᾷ.
ἄλλη δ' ἐγύμνου καλλίχειρας ὠλένας,
ἄλλης προσαμπέχουσα θῆλυν αὐχένα,
ἣ δὲ ῥαγέντων χλανιδίων ὑπὸ πτύχας
ἔφαινε μηρόν, κἀξαπεσφραγίζετο
ὥρας γελώσης χωρὶς ἐλπίδων ἔρως.

88. ἐπικατάφορος δὲ ὢν ὁ ποιητὴς οὗτος καὶ ἐπὶ d
τὰ ἄνθη ἐν Ἀλφεσιβοίᾳ φησί

καὶ σώματος μὲν ὄψεις κατειργάζετο
στίλβοντα λευκῷ χρώματι διαπρεπῆ·
αἰδὼς δ' ἐπερρύθμιζεν ἠπιώτατον
ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι·
κόμαι δὲ κηροχρῶτες ὡς ἀγάλματος
αὐτοῖσι βοστρύχοισιν ἐκπεπλασμένου
ξουθοῖσιν ἀνέμοις ἐντρύφων φορούμεναι.

ἐν δὲ τῇ Ἰοῖ ἔαρος τέκνα προσηγόρευε τὰ ἄνθη

ἀνθηροῦ τέκνα e
ἔαρος πέριξ στρώσαντες.

ἐν δὲ Κενταύρῳ, ὅπερ δρᾶμα πολύμετρόν ἐστι, λειμῶνος τέκνα

ἔνθ' αἳ μὲν αὐτῶν εἰς ἀπείρονα στρατὸν
ἀνθέων ἄλογχον ἐστράτευσαν, ἡδοναῖς
θηρώμεναι τὰ λειμώνων τέκνα.

ἐν δὲ Διονύσῳ

χορῶν ἐραστὴς κισσός, ἐνιαυτοῦ δὲ παῖς.

περὶ δὲ ῥόδων ἐν Ὀδυσσεῖ φησὶν οὕτως

κόμαισιν ὡρῶν στέμματ' εὐανθῆ ῥόδα
εἶχον, τιθήνημ' ἔαρος ἐκπρεπέστατον.

καὶ ἐν Θυέστῃ f

ῥόδ' ὀξυφεγγῆ κρίνεσιν ἀργεννοῖς ὁμοῦ.

ἐν δὲ Μινύαις
πολλὴν ὀπώραν Κύπριδος εἰσορᾶν παρῆν
ἁβραῖσι περκάζουσαν οἰνάνθαις ὁμοῦ.

89. ἐπὶ κάλλει δὲ (ἔτι γὰρ γέρων ἀοιδὸς κελαδεῖ
Μναμοσύναν, κατὰ τὸν Εὐριπίδην) διαβόητοι γεγό-
νασι γυναῖκες, Θαργηλία ἡ Μιλησία, ἥτις καὶ τεσσα-
609 ρεσκαίδεκα ἀνδράσιν ἐγαμήθη, οὖσα καὶ τὸ εἶδος
πάνυ καλὴ καὶ σοφή, ὥς φησιν Ἱππίας ὁ σοφιστὴς ἐν
τῷ ἐπιγραφομένῳ Συναγωγή. Δείνων δ' ἐν τῇ πέμ-
πτῃ τῶν Περσικῶν τῆς πρώτης συντάξεώς φησιν ὅτι
ἡ Βαγάζου γυνή, ἥτις ἦν ὁμοπάτριος Ξέρξου ἀδελφή,
ὄνομα Ἀνοῦτις, καλλίστη ἦν τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν
καὶ ἀκολαστοτάτη. Φύλαρχος δ' ἐν τῇ ἐννεακαιδεκάτῃ
Τιμῶσάν φησι τὴν Ὀξυάρτου παλλακίδα πάσας γυ-
ναῖκας ὑπερβεβληκέναι κάλλει. ταύτην δ' ἀπεστάλκει
b δῶρον ὁ τῶν Αἰγυπτίων βασιλεὺς Στατίρᾳ τῇ βασι-
λέως γυναικί. Θεόπομπος δ' ἐν τῇ ἕκτῃ καὶ πεντη-
κοστῇ τῶν ἱστοριῶν Ξενοπείθειαν τὴν Λυσανδρίδου
μητέρα πασῶν τῶν κατὰ Πελοπόννησον γυναικῶν γε-
γονέναι καλλίονα. ἀπέκτειναν δὲ αὐτὴν Λακεδαιμό-
νιοι καὶ τὴν ἀδελφὴν αὐτῆς Χρύσην, ὅτε καὶ τὸν Λυ-
σανδρίδαν ἐχθρὸν ὄντα Ἀγησίλαος ὁ βασιλεὺς κατα-
στασιάσας φυγαδευθῆναι ἐποίησεν ὑπὸ Λακεδαιμο-
νίων. καλλίστη δ' ἦν καὶ Παντίκα ἡ Κυπρία, περὶ ἧς
φησὶ Φύλαρχος ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν ὅτι παρ'
c Ὀλυμπιάδι οὖσαν τῇ Ἀλεξάνδρου μητρὶ ᾔτει πρὸς γά-
μον Μόνιμος ὁ Πυθίωνος· καὶ ἐπεὶ ἦν ἀκόλαστος ἡ
γυνή, ἔφη ἡ Ὀλυμπιάς· ὦ πόνηρε, τοῖς ὀφθαλμοῖς γαμεῖς
καὶ οὐ τῷ νῷ. καὶ τὴν κατάγουσαν δὲ Πεισίστρατον
ἐπὶ τὴν τυραννίδα ὡς Ἀθηνᾶς σωτείρας εἶδος ἔχουσαν
καλήν φησι γεγονέναι, ἥτις καὶ τῇ θεῷ εἴκαστο τὴν
μορφήν. στεφανόπωλις δὲ ἦν· καὶ αὐτὴν ἐξέδωκε

πρὸς γάμου κοινωνίαν ὁ Πεισίστρατος Ἱππάρχῳ τῷ
υἱῷ, ὡς Κλείδημος ἱστορεῖ ἐν ὀγδόῳ Νόστων. ἐξέ-
δωκε δὲ καὶ Ἱππάρχῳ τῷ υἱεῖ τὴν παραιβατήσασαν d
αὐτῷ γυναῖκα Φύην τὴν Σωκράτους θυγατέρα. καὶ
Χάρμου τοῦ πολεμαρχήσαντος θυγατέρα ἔλαβεν Ἱπ-
πίᾳ περικαλλεστάτην οὖσαν τῷ μετ' αὐτὸν τυραν-
νεύσαντι. συνέβη δέ, ὥς φησι, τὸν Χάρμον ἐραστὴν
τοῦ Ἱππίου γενέσθαι καὶ τὸν πρὸς ἀκαδημείᾳ Ἔρωτα
ἱδρύσασθαι πρῶτον, ἐφ' οὗ ἐπιγέγραπται

ποικιλομήχαν' Ἔρως, σοὶ τόνδ' ἱδρύσατο βωμὸν
Χάρμος ἐπὶ σκιεροῖς τέρμασι γυμνασίου.

Ἡσίοδος δ' ἐν τρίτῳ Μελαμποδείας τὴν ἐν Εὐβοίᾳ e
Χαλκίδα καλλιγύναικα εἶπεν. εὐπρεπεῖς γὰρ αὐτόθι
γίνονται γυναῖκες, ὡς καὶ Θεόφραστος εἴρηκε. καὶ
Νυμφόδωρος δ' ἐν τῷ τῆς Ἀσίας Περίπλῳ καλλίονάς
φησι γίνεσθαι γυναῖκας τῶν πανταχοῦ γυναικῶν ἐν
Τενέδῳ τῇ Τρωικῇ νήσῳ.

90. οἶδα δὲ καὶ περὶ κάλλους γυναικῶν ἀγῶνά
ποτε διατεθέντα· περὶ οὗ ἱστορῶν Νικίας ἐν τοῖς
Ἀρκαδικοῖς διαθεῖναί φησιν αὐτὸν Κύψελον, [Βασι-
λίδα] πόλιν κτίσαντα ἐν τῷ πεδίῳ περὶ τὸν Ἀλφειόν·
εἰς ἣν κατοικίσαντα Παρρασίων τινὰς τέμενος καὶ
βωμὸν ἀναστῆσαι Δήμητρι Ἐλευσινίᾳ, ἧς ἐν τῇ ἑορτῇ f
καὶ τὸν τοῦ κάλλους ἀγῶνα ἐπιτελέσαι· καὶ νικῆσαι
πρῶτον αὐτοῦ τὴν γυναῖκα Ἡροδίκην. ἐπιτελεῖται δὲ
καὶ μέχρι νῦν ὁ ἀγὼν οὗτος· καὶ αἱ ἀγωνιζόμεναι
γυναῖκες χρυσοφόροι ὀνομάζονται. Θεόφραστος δὲ
ἀγῶνα κάλλους φησὶ γενέσθαι παρὰ Ἠλείοις καὶ τὴν
κρίσιν ἐπιτελεῖσθαι μετὰ σπουδῆς λαμβάνειν τε τοὺς
νικήσαντας ἆθλα ὅπλα· ἅπερ ἀνατίθεσθαί φησι Διο-
νύσιος ὁ Λευκτρικὸς τῇ Ἀθηνᾷ, τὸν δὲ νικήσαντα 610
ταινιούμενον ὑπὸ τῶν φίλων καὶ πομπεύοντα ἕως

τοῦ ἱεροῦ παραγίγνεσθαι. τὸν στέφανον δ' αὐτοῖς δίδοσθαι μυρρίνης ἱστορεῖ Μυρσίλος ἐν ἱστορικοῖς παραδόξοις. ἐνιαχοῦ δέ φησιν ὁ αὐτὸς Θεόφραστος καὶ κρίσεις γυναικῶν περὶ σωφροσύνης γίγνεσθαι καὶ οἰκονομίας, ὥσπερ ἐν τοῖς βαρβάροις· ἑτέρωθι δὲ κάλλους, ὡς δέον καὶ τοῦτο τιμᾶσθαι, καθάπερ καὶ παρὰ Τενεδίοις καὶ Λεσβίοις· ταύτην δὲ τύχης ἢ φύσεως εἶναι, τιμὴν δὲ δέον προκεῖσθαι σωφροσύνης.
b τὸ κάλλος γὰρ οὕτως καλόν· εἰ δὲ μή, κίνδυνον ἔσχεν ἐπ' ἀκολασίαν.

91. τοσαῦτα τοῦ Μυρτίλου ἑξῆς καταλέξαντος καὶ πάντων αὐτὸν ἐπὶ τῇ μνήμῃ θαυμασάντων ὁ Κύνουλκος ἔφη

πουλυμαθημοσύνης τῆς οὐ κενεώτερον οὐδέν,

Ἵππων ἔφη ὁ ἄθεος. ἀλλὰ καὶ Ἡράκλειτος ὁ θεῖός φησι 'πουλυμαθίη νόον ἔχειν οὐ διδάσκει.' καὶ ὁ Τίμων δὲ ἔφη

ἐν δὲ πλατυσμὸς
πουλυμαθημοσύνης τῆς οὐ κενεώτερον ἄλλο.

c τί γὰρ ὄφελος τῶν τοσούτων ὀνομάτων, ὦ γραμματικέ, πάντως ἐπιτρῖψαι μᾶλλον ἢ σωφρονίσαι δυναμένων τοὺς ἀκούοντας. καὶ ἐὰν μέν τίς σου πύθηται τίνες ἦσαν οἱ εἰς τὸν δούριον ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα· καὶ οὐδὲ ταῦτ' ἐκ τῶν Στησιχόρου, σχολῇ γάρ, ἀλλ' ἐκ τῆς Σακάδα τοῦ Ἀργείου Ἰλίου πέρσιδος· οὗτος γὰρ παμπόλλους τινὰς κατέλεξεν. ἀλλὰ μὴν οὐδὲ τῶν Ὀδυσσέως ἑταίρων ἔχοις ἂν οὕτως εὐρύθμως καταλέξαι τὰς
d προσηγορίας, καὶ τίνες οἱ ὑπὸ τοῦ Κύκλωπος αὐτῶν καταβρωθέντες ἢ ὑπὸ τῶν Λαιστρυγόνων, καὶ εἰ ὄντως κατεβρώθησαν· ὅστις οὖν οὐδὲ τοῦτ' οἶδας, καίτοι συνεχῶς Φυλάρχου μνήμην ποιούμενος, ὅτι ἐν

ταῖς Κείων πόλεσιν οὔτε ἑταίρας οὔτε αὐλητρίδας ἰδεῖν ἔστι.

92. καὶ ὁ Μυρτίλος, τοῦτο δὲ ποῦ εἴρηκεν ὁ Φύλαρχος; κατανέγνων γὰρ αὐτοῦ πᾶσαν τὴν ἱστορίαν. εἰπόντος δέ, ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ, ὁ Μυρτίλος ἔφη, εἶτ' οὐκ ἐγὼ δικαίως πάντας ὑμᾶς τοὺς φιλοσόφους μισῶ, μισοφιλολόγους ὄντας; οὓς οὐ μόνον e Λυσίμαχος ὁ βασιλεὺς ἐξεκήρυξε τῆς ἰδίας βασιλείας ἀπελαύνων, ὡς ὁ Καρύστιός φησιν ἐν ἱστορικοῖς ὑπομνήμασιν, ἀλλὰ καὶ Ἀθηναῖοι. Ἄλεξις γοῦν ἐν Ἱππῳ φησί

τοῦτ' ἔστιν Ἀκαδήμεια, τοῦτο Ξενοκράτης;
πόλλ' ἀγαθὰ δοῖεν οἱ θεοὶ Δημητρίῳ
καὶ τοῖς νομοθέταις, διότι τοὺς τὰς τῶν λόγων,
ὥς φασι, δυνάμεις παραδιδόντας τοῖς νέοις
ἐς κόρακας ἔρρειν φασὶν ἐκ τῆς Ἀττικῆς.

καὶ Σοφοκλῆς δέ τις ψηφίσματι ἐξήλασε πάντας φιλοσόφους ἐκ τῆς Ἀττικῆς, καθ' οὗ λόγον ἔγραψε f Φίλων ὁ Ἀριστοτέλους γνώριμος, ἀπολογίαν ὑπὲρ τοῦ Σοφοκλέους Δημοχάρους πεποιηκότος τοῦ Δημοσθένους ἀνεψιοῦ. καὶ Ῥωμαῖοι δὲ οἱ πάντ' ἄριστοι ἐξέβαλον τοὺς σοφιστὰς τῆς Ῥώμης ὡς διαφθείροντας τοὺς νέους· ἔπειτ' οὐκ οἶδ' ὅπως κατεδέξαντο. ἐμφανίζει δ' ὑμῶν καὶ τὸ ἀνόητον Ἀνάξιππος ὁ κωμῳδιοποιὸς ἐν Κεραυνουμένῳ λέγων οὕτως

οἴμοι, φιλοσοφεῖς. ἀλλὰ τούς γε φιλοσόφους
ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον, 611
ἐν τοῖσι δ' ἔργοις ὄντας ἀνοήτους ὁρῶ.

εἰκότως οὖν πολλαὶ τῶν πόλεων, καὶ μάλιστα ἡ Λακεδαιμονίων, ὡς Χαμαιλέων φησὶν ἐν τῷ περὶ Σιμωνίδου, οὐ προσίενται οὔτε ῥητορικὴν οὔτε φιλοσοφίαν διὰ τὰς ἐν τοῖς λόγοις ὑμῶν φιλοτιμίας καὶ

ἔριδας καὶ τοὺς ἀκαίρους ἐλέγχους· δι' οὓς Σωκράτης μὲν ἀπέθανεν, ὁ πρὸς τοὺς εἰς τὰ δικαστήρια διακληρουμένους διαλεγόμενος περὶ τοῦ δικαίου, κλεπτιστάτους ὄντας· ἀπέθανε δὲ διὰ ταῦτα καὶ [b] Θεόδωρος ὁ ἄθεος, καὶ Διαγόρας ἐφυγαδεύθη· ὅτε καὶ πλέων ναυαγίᾳ ἐχρήσατο· Διότιμος δ' ὁ γράψας τὰ κατ' Ἐπικούρου βιβλία ὑπὸ Ζήνωνος τοῦ ἐπικουρείου ἐξαιτηθεὶς ἀνηρέθη, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις.

93. συνελόντι δ' εἰπεῖν, κατὰ τὸν Σολέα Κλέαρχον, οὐ καρτερικὸν βίον ἀσκεῖτε, κυνικὸν δὲ τῷ ὄντι ζῆτε· καίτοι τοῦ ζῴου τούτου ἐν τέτταρσι τὴν φύσιν περιττὴν ἔχοντος, ὧνπερ ὑμεῖς τὰ χείρω μερισάμενοι τηρεῖτε. αἰσθήσει τε γὰρ τῇ πρὸς ὄσφρανσιν καὶ πρὸς τὸ οἰκεῖον καὶ ἀλλότριον θαυμαστόν, τό τε συναν- [c] θρωπίζον καὶ οἰκουρὸν εἶναι καὶ φυλακτικὸν τοῦ τῶν εὖ δρώντων βίου πάντων περιττότατον· ὧν οὐδέτερον πρόσεστιν ὑμῖν τοῖς τὸν κυνικὸν βίον μιμουμένοις. οὔτε γὰρ συνανθρωπίζετε οὔτε διαγινώσκετε οὐδένα τῶν ὁμιλούντων, αἰσθήσει τε πολλῶν ὑστεροῦντες ἀργῶς καὶ ἀφυλάκτως ζῆτε. λοιδόρου δὲ καὶ παμφάγου τοῦ ζῴου πεφυκότος, ἔτι δὲ ταλαιπώρου καὶ γυμνοῦ τὸν βίον, ἄμφω ταῦτα μελετᾶτε, κακολόγοι καὶ βοροὶ πρός τε τούτοις ἄνοικοι καὶ ἀνέστιοι βιοῦντες· ἐξ ὧν ἁπάντων ἀλλότριοι μὲν ἀρετῆς, μά- [d] ταιοι δὲ εἰς τὸ τοῦ βίου χρήσιμον. οὐδὲν γάρ ἐστι τῶν καλουμένων φιλοσόφων ἀφιλοσοφώτερον. τίς γὰρ ἤλπισεν Αἰσχίνην τὸν σωκρατικὸν τοιοῦτον γεγενῆσθαι τοὺς τρόπους ὁποῖόν φησι Λυσίας ὁ ῥήτωρ ἐν τοῖς τῶν συμβολαίων λόγοις; ὃν ἐκ τῶν φερομένων ὡς αὐτοῦ διαλόγων θαυμάζομεν ὡς ἐπιεικῆ καὶ μέτριον, πλὴν εἰ μὴ ὡς ἀληθῶς τοῦ σοφοῦ Σωκρά-

τους ἐστὶ συγγράμματα, ἐχαρίσθη δὲ αὐτῷ ὑπὸ Ξανθίππης τῆς Σωκράτους γυναικὸς μετὰ τὸν ἐκείνου θάνατον, ὡς οἱ ἀμφὶ τὸν Ἰδομενέα φασίν. e

94. ἀλλ᾽ ὅ γε Λυσίας ἐν τῷ ἐπιγραφομένῳ λόγῳ οὑτωσί 'πρὸς Αἰσχίνην τὸν σωκρατικὸν χρέως' (ἀπομνημονεύσω δ᾽ ἐγώ, εἰ καὶ πολλά ἐστι τὰ λεχθέντα, διὰ τὸν βρένθον ὑμῶν τὸν πολὺν ὦ φιλόσοφοι) ἄρχεται δ᾽ οὕτως ὁ ῥήτωρ 'οὐκ ἄν ποτ᾽ ᾠήθην, ἄνδρες δικασταί, Αἰσχίνην τολμῆσαι οὕτως αἰσχρὰν δίκην δικάσασθαι, νομίζω δ᾽ οὐκ ἂν ῥαδίως αὐτὸν ἑτέραν ταύτης συκοφαντωδεστέραν ἐξευρεῖν. οὗτος γάρ, ὦ f ἄνδρες δικασταί, ὀφείλων ἀργύριον ἐπὶ τρισὶ δραχμαῖς Σωσινόμῳ τῷ τραπεζίτῃ καὶ Ἀριστογείτονι, προσελθὼν πρὸς ἐμὲ ἐδεῖτο μὴ περιιδεῖν αὐτὸν διὰ τοὺς τόκους ἐκ τῶν ὄντων ἐκπεσόντα. κατασκευάζομαι δ᾽, ἔφη, τέχνην μυρεψικήν· ἀφορμῆς δὲ δέομαι, καὶ οἴσω δέ σοι ἐννέ᾽ ὀβολοὺς τῆς μνᾶς τόκους.' καλόν γε τὸ τέλος τῆς εὐδαιμονίας τῷ φιλοσόφῳ ἡ 612 μυρεψικὴ τέχνη ἀκόλουθός τε τῇ Σωκράτους φιλοσοφίᾳ, ἀνδρὸς τοῦ καὶ τὴν τοιαύτην χρῆσιν τῶν μύρων ἀποδοκιμάσαντος· Σόλωνος δὲ τοῦ νομοθέτου οὐδ᾽ ἐπιτρέποντος ἀνδρὶ τοιαύτης προΐστασθαι τέχνης. διὸ καὶ Φερεκράτης ἐν Ἰπνῷ ἢ Παννυχίδι φησί

κᾆτα μυροπωλεῖν τί παθόντ᾽ ἄνδρ᾽ ἐχρῆν καθήμενον
ὑψηλῶς ὑπὸ σκιαδείῳ, κατεσκευασμένον
συνέδριον, τοῖς μειρακίοις ἵν᾽ ἐλάλει δι᾽ ἡμέρας;

εἶθ᾽ ἑξῆς φησίν

αὐτίκ᾽ οὐδεὶς οὔτε μαγείραιναν εἶδε πώποτε
οὔτε μὴν οὐδ᾽ ἰχθυοπώλαιναν. b

ἑκάστῳ γὰρ γένει ἁρμόζοντα δεῖν εἶναι καὶ τὰ τῆς τέχνης. ἑξῆς δὲ τούτοις ὁ ῥήτωρ τάδε λέγει 'πεισθεὶς

δ' ὑπ' αὐτοῦ τοιαῦτα λέγοντος καὶ ἅμα οἰόμενος τοῦτον Αἰσχίνην Σωκράτους γεγονότα μαθητὴν καὶ περὶ δικαιοσύνης καὶ ἀρετῆς πολλοὺς καὶ σεμνοὺς λέγοντα λόγους οὐκ ἄν ποτε ἐπιχειρῆσαι οὐδὲ τολμῆσαι ἅπερ οἱ πονηρότατοι καὶ ἀδικώτατοι ἄνθρωποι ἐπιχειροῦσι πράττειν.'

95. καὶ μετὰ ταῦτα πάλιν καταδρομὴν αὐτοῦ
c ποιησάμενος ὡς ἐδανείσατο, ὡς οὔτε τόκους οὔτε τἀρχαῖον ἀπεδίδου, καὶ ὅτι ὑπερήμερος ἐγένετο γνώμῃ δικαστηρίου ἐρήμην καταδικασθείς, καὶ ὡς ἠνεχυράσθη οἰκέτης αὐτοῦ στιγματίας, καὶ πολλὰ ἄλλα κατειπὼν αὐτοῦ, ἐπιλέγει ταῦτα 'ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οὐκ εἰς ἐμὲ μόνον τοιοῦτός ἐστιν ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας τοὺς αὐτῷ κεχρημένους. οὐχ οἱ μὲν κάπηλοι οἱ ἐγγὺς οἰκοῦντες, παρ' ὧν προδόσεις λαμβάνων οὐκ ἀποδίδωσι, δικάζονται αὐτῷ συγκλείσαντες τὰ καπηλεῖα, οἱ δὲ γείτονες οὕτως ὑπ'
d αὐτοῦ δεινὰ πάσχουσιν ὥστ' ἐκλιπόντες τὰς αὐτῶν οἰκίας ἑτέρας πόρρω μισθοῦνται; ὅσους δ' ἐράνους συνείλεκται, τὰς μὲν ὑπολοίπους φορὰς οὐ κατατίθησιν ἀλλὰ περὶ τοῦτον τὸν κάπηλον ὡς περὶ στήλην διαφθείρονται . . . τοσοῦτοι δ' ἐπὶ τὴν οἰκίαν ἅμα τῇ ἡμέρᾳ ἀπαιτήσοντες τὰ ὀφειλόμενα ἔρχονται ὥστ' οἴεσθαι τοὺς παριόντας ἐπ' ἐκφορὰν αὐτοὺς ἥκειν τοῦ τεθνεῶτος. οὕτω δ' οἱ ἐν τῷ Πειραιεῖ διάκεινται ὥστε πολὺ ἀσφαλέστερον εἶναι δοκεῖν εἰς τὸν Ἀδρίαν
e πλεῖν ἢ τούτῳ συμβάλλειν. πολὺ γὰρ μᾶλλον ἃ ἂν δανείσηται αὑτοῦ νομίζει εἶναι ἢ ἃ ὁ πατὴρ αὐτῷ κατέλιπεν. ἀλλὰ γὰρ οὐ τὴν οὐσίαν κέκτηται Ἑρμαίου τοῦ μυροπώλου τὴν γυναῖκα διαφθείρας ἑβδομήκοντα ἔτη γεγονυῖαν; ἧς ἐρᾶν προσποιησάμενος οὕτω διέθηκεν ὥστε τὸν μὲν ἄνδρα αὐτῆς καὶ τοὺς

υἱοὺς πτωχοὺς ἐποίησεν, αὐτὸν δ' ἀντὶ καπήλου μυροπώλην ἀπέδειξεν· οὕτως ἐρωτικῶς τὸ κόριον μετεχειρίζετο, τῆς ἡλικίας αὐτῆς ἀπολαύων, ἧς ῥᾷον τοὺς ὀδόντας ἀριθμῆσαι [ὅσου ἐλάττους ἦσαν] ἢ τῆς χειρὸς f
τοὺς δακτύλους. καί μοι ἀνάβητε τούτων μάρτυρες. ὁ μὲν οὖν βίος τοῦ σοφιστοῦ τοιοῦτος.'

ὁ μὲν οὖν Λυσίας, ὦ Κύνουλκε, οὕτως. ἐγὼ δὲ κατὰ τὸν Ἀρίσταρχον τὸν τραγικὸν ποιητήν

τάδ' οὐχ ὑπάρχων ἀλλὰ τιμωρούμενος

καταπαύσω τὸν πρὸς σὲ καὶ τοὺς ἄλλους κύνας ἐνταῦθα λόγον.

---

# ΙΔ

Τὸν Διόνυσον, ἑταῖρε Τιμόκρατες, μαινόμενον 613
οἱ πολλοὶ λέγουσιν ἀπὸ τοῦ τοὺς πλείονος ἀκράτου σπῶντας θορυβώδεις γίνεσθαι.

οἶνός σε τρώει μελιηδής, ὅστε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ μηδ' αἴσιμα πίνῃ.
οἶνος καὶ κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα
ὤλεσ' ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο,
ἐς Λαπίθας ἐλθόνθ'· ὃ δ' ἐπεὶ φρένας ἄασεν οἴνῳ,
μαινόμενος κάκ' ἔρεξε δόμοις ἐνὶ Πειριθόοιο. b

κατιόντος γοῦν τοῦ οἴνου ἐς τὸ σῶμα, ὥς φησιν Ἡρόδοτος, ἐπαναπλέει κακὰ ἔπεα καὶ μαινόμενα. Κλέαρχος δ' ὁ κωμῳδιοποιὸς ἐν Κορινθίοις φησίν

εἰ τοῖς μεθυσκομένοις ἑκάστης ἡμέρας

ἀλγεῖν συνέβαινε τὴν κεφαλὴν πρὸ τοῦ πιεῖν
τὸν ἄκρατον, ἡμῶν οὐδὲ εἷς ἔπινεν ἄν.
νυνὶ δὲ πρότερον τοῦ πόνου τὴν ἡδονὴν
προλαμβάνοντες ὑστεροῦμεν τἀγαθοῦ.

c Ξενοφῶν δὲ τὸν Ἀγησίλαον, ὃς μέθης μὲν ἀπέχεσθαι ὁμοίως ᾤετο χρῆναι καὶ μανίας, σίτων δὲ ὑπερκαίρων ὁμοίως καὶ ἀργίας. ἀλλ' οὐχ ἡμεῖς γε οὔτε τῶν πλεῖον πινόντων ὄντες οὔτε τῶν ἐξοίνων γινομένων πληθούσης ἀγορᾶς ἐπὶ τὰ μουσικὰ ταῦτα ἐρχόμεθα συμπόσια. καὶ γὰρ ὁ φιλεπιτιμητὴς Οὐλπιανὸς πάλιν τινὸς ἐπείληπτο εἰπόντος 'ἔξοινος οὐκ εἰμί' λέγων, ὁ δ' ἔξοινος ποῦ; καὶ ὅς, παρ' Ἀλέξιδι ἐν Εἰσοικιζομένῳ 'ἔξοινος ἐποίει ταῦτ'' ἔφη.

2. ἐπεὶ δὲ ἑκάστης ἡμέρας μετὰ τοὺς παρ' ἡμῶν d καινοὺς ἀεὶ λεγομένους λόγους καὶ ἀκροάματα ἑκάστοτε διάφορα ἐπεισάγει ὁ λαμπρὸς ἡμῶν ἑστιάτωρ Λαρήνσιος, ἔτι δὲ καὶ γελωτοποιούς, φέρε λέγωμέν τι καὶ ἡμεῖς περὶ τούτων. καίτοι γε οἶδα καὶ Ἀνάχαρσιν τὸν Σκύθην ἐν συμποσίῳ γελωτοποιῶν εἰσαχθέντων ἀγέλαστον διαμείναντα, πιθήκου δ' ἐπεισαχθέντος γελάσαντα φάναι ὡς οὗτος μὲν φύσει γελοῖός ἐστιν, ὁ δ' ἄνθρωπος ἐπιτηδεύσει. καὶ Εὐριπίδης δ' ἐν τῇ δεσμώτιδι Μελανίππῃ ἔφη

ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος οὕνεκα
ἀσκοῦσι χάριτας κερτόμους. ἐγὼ δέ πως
μισῶ γελοίους, οἵτινες τήτει σοφῶν
614 ἀχάλιν' ἔχουσι στόματα· κεἰς ἀνδρῶν μὲν οὐ
τελοῦσιν ἀριθμόν, ἐν γέλωτι δ' ἐκπρεπεῖς
οἰκοῦσιν οἴκους καὶ τὰ ναυστολούμενα
ἔσω δόμων σῴζουσι.

Παρμενίσκος δὲ ὁ Μεταποντῖνος, ὥς φησι Σῆμος ἐν πέμπτῳ Δηλιάδος καὶ γένει καὶ πλούτῳ πρωτεύων,

εἰς Τροφωνίου καταβὰς καὶ ἀνελθὼν οὐκ ἔτι γελᾶν ἐδύνατο. καὶ χρηστηριαζομένῳ περὶ τούτου ἡ Πυθία ἔφη

εἴρῃ μ' ἀμφὶ γέλωτος ἀμείλιχε μειλιχίοιο·
δώσει σοι μήτηρ οἴκοι, τὴν ἔξοχα τῖε. b

ἐλπίζων δ' ἂν ἐπανέλθῃ εἰς τὴν πατρίδα γελάσειν, ὡς οὐδὲν ἦν πλέον, οἰόμενος ἐξηπατῆσθαι ἔρχεταί ποτε κατὰ τύχην εἰς Δῆλον, καὶ πάντα τὰ κατὰ τὴν νῆσον ἀποθαυμάζων ἦλθε καὶ εἰς τὸ λητῷον, νομίζων τῆς Ἀπόλλωνος μητρὸς ἄγαλμά τι θεωρήσειν ἀξιόλογον· ἰδὼν δ' αὐτὸ ξύλινον ἄμορφον παραδόξως ἐγέλασεν, καὶ τὸν τοῦ θεοῦ χρησμὸν ξυμβάλλων καὶ τῆς ἀρρωστίας ἀπαλλαγεὶς μεγαλωστὶ τὴν θεὸν ἐτίμησεν.

3. Ἀναξανδρίδης δ' ἐν Γεροντομανίᾳ καὶ εὑρετὰς c τῶν γελοίων φησὶ γενέσθαι Ῥαδάμανθυν καὶ Παλαμήδην, λέγων οὕτως

καίτοι πολύ γε πονοῦμεν.
τὸν ἀσύμβολον εὗρε γελοῖα λέγειν Ῥαδάμανθυς
καὶ Παλαμήδης.

γελωτοποιῶν δὲ μέμνηται Ξενοφῶν ἐν τῷ Συμποσίῳ Φιλίππου μέν, περὶ οὗ καὶ οὑτωσὶ λέγει 'Φίλιππος δ' ὁ γελωτοποιὸς κρούσας τὴν θύραν εἶπε τῷ ὑπακούσαντι εἰσαγγεῖλαι ὅστις τε εἴη καὶ διότι κατάγεσθαι βούλεται· συνεσκευασμένος δὲ ἔφη παρεῖναι πάντα τἀπιτήδεια, ὥστε δειπνεῖν τἀλλότρια. καὶ τὸν παῖδα δὲ ἔφη πάνυ πιέζεσθαι διά τε τὸ φέρειν μηδὲν d καὶ διὰ τὸ ἀνάριστον εἶναι.' Ἱππόλοχος δὲ ὁ Μακεδὼν ἐν τῇ πρὸς Λυγκέα ἐπιστολῇ γελωτοποιῶν μέμνηται Μανδρογένους καὶ Στράτωνος τοῦ Ἀττικοῦ. πλῆθος δ' ἦν Ἀθήνησι τῆς σοφίας ταύτης. ἐν γοῦν τῷ Διομέων ἡρακλείῳ συνελέγοντο ἑξήκοντα ὄντες

τὸν ἀριθμόν, καὶ ἐν τῇ πόλει δὲ ὠνομάζοντο, ὡς ʽοἱ
ἑξήκοντα τοῦτʼ εἶπονʼ καὶ ʽἀπὸ τῶν ἑξήκοντα ἔρχο-
e μαι.ʼ ἐν δὲ τούτοις ἦσαν Καλλιμέδων τε ὁ Κάραβος
καὶ Δεινίας ἔτι τε Μνασιγείτων καὶ Μέναιχμος, ὥς
φησι Τηλεφάνης ἐν τῷ περὶ τοῦ ἄστεος. τοσαύτη δʼ
αὐτῶν δόξα τῆς ῥᾳθυμίας ἐγένετο ὡς καὶ Φίλιππον
ἀκούσαντα τὸν Μακεδόνα πέμψαι αὐτοῖς τάλαντον,
ἵνʼ ἐγγραφόμενοι τὰ γελοῖα πέμπωσιν αὐτῷ. ὅτι δὲ
ἦν περὶ τὰ γελοῖα ἐσπουδακὼς ὁ βασιλεὺς οὗτος μαρ-
τυρεῖ Δημοσθένης ὁ ῥήτωρ ἐν τοῖς Φιλιππικοῖς. φι-
λόγελως δʼ ἦν καὶ Δημήτριος ὁ πολιορκητής, ὥς φησι
Φύλαρχος ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν· ὅς γε καὶ τὴν
Λυσιμάχου αὐλὴν κωμικῆς σκηνῆς οὐδὲν διαφέρειν
f ἔλεγεν· ἐξιέναι γὰρ ἀπʼ αὐτῆς πάντας δισυλλάβους
(τόν τε Βῖθυν χλευάζων καὶ τὸν Πάριν, μεγίστους
ὄντας παρὰ τῷ Λυσιμάχῳ, καί τινας ἑτέρους τῶν
φίλων), παρὰ δʼ αὑτοῦ Πευκέστας καὶ Μενελάους,
ἔτι δὲ Ὀξυθέμιδας. ταῦτα δʼ ἀκούων ὁ Λυσίμαχος,
ἐγὼ τοίνυν, ἔφη, πόρνην ἐκ τραγικῆς σκηνῆς οὐχ
ἑόρακα ἐξιοῦσαν· τὴν αὐλητρίδα Λάμιαν λέγων.
615 ἀπαγγελθέντος δὲ καὶ τούτου, πάλιν ὑπολαβὼν ὁ
Δημήτριος ἔφη, ἀλλʼ ἡ παρʼ ἐμοῦ πόρνη σωφρονέ-
στερον τῆς παρʼ ἐκείνῳ Πηνελόπης ζῇ.

4. ὅτι δὲ καὶ Σύλλας ὁ Ῥωμαίων στρατηγὸς φι-
λόγελως ἦν προείρηται. Λεύκιος δὲ Ἀνίκιος καὶ αὐ-
τὸς Ῥωμαίων στρατηγήσας Ἰλλυριοὺς καταπολεμήσας
καὶ αἰχμάλωτον ἀγαγὼν Γένθιον τὸν τῶν Ἰλλυριῶν
βασιλέα σὺν τοῖς τέκνοις, ἀγῶνας ἐπιτελῶν τοὺς ἐπι-
νικίους ἐν τῇ Ῥώμῃ παντὸς γέλωτος ἄξια πράγματα
b ἐποίησεν, ὡς Πολύβιος ἱστορεῖ ἐν τῇ τριακοστῇ. με-
ταπεμψάμενος γὰρ τοὺς ἐκ τῆς Ἑλλάδος ἐπιφανεστά-
τους τεχνίτας καὶ σκηνὴν κατασκευάσας μεγίστην ἐν

τῷ κίρκῳ πρώτους εἰσῆγεν αὐλητὰς ἅμα πάντας. οὗτοι δ' ἦσαν Θεόδωρος ὁ Βοιώτιος, Θεόπομπος . . ., Ἕρμιππος ὁ Λυσιμαχεύς, οἵτινες ἐπιφανέστατοι ἦσαν. τούτους δὲ στήσας ἐπὶ τὸ προσκήνιον μετὰ τοῦ χοροῦ αὐλεῖν ἐκέλευσεν ἅμα πάντας. τῶν δὲ διαπορευομένων τὰς κρούσεις μετὰ τῆς ἁρμοζούσης κινήσεως, προσπέμψας οὐκ ἔφη καλῶς αὐτοὺς αὐλεῖν, ἀλλ' ἀγωνίζεσθαι μᾶλλον ἐκέλευσε. τῶν δὲ διαπορούντων c ὑπέδειξέ τις τῶν ῥαβδούχων, ἐπιστρέψαντας ἀπαγαγεῖν ἐφ' αὑτοὺς καὶ ποιεῖν ὡσανεὶ μάχην. ταχὺ δὲ συννοήσαντες οἱ αὐληταὶ καὶ λαβόντες οἰκείαν [κίνησιν] ταῖς ἑαυτῶν ἀσελγείαις μεγάλην ἐποίησαν σύγχυσιν. συνεπιστρέψαντες δὲ τοὺς μέσους χοροὺς πρὸς τοὺς ἄκρους οἱ μὲν αὐληταὶ φυσῶντες ἀδιανόητα καὶ διαφέροντες τοὺς αὐλοὺς ἀπῆγον ἀνὰ μέρος ἐπ' ἀλλήλους. ἅμα δὲ τούτοις ἐπικτυποῦντες οἱ χοροὶ καὶ συνεπεισιόντες τὴν σκηνὴν ἐπεφέροντο τοῖς ἐναντίοις, d καὶ πάλιν ἀνεχώρουν ἐκ μεταβολῆς. ὡς δὲ καὶ περιζωσάμενός τις τῶν χορευτῶν ἐκ τοῦ καιροῦ στραφεὶς ἦρε τὰς χεῖρας ἀπὸ πυγμῆς πρὸς τὸν ἐπιφερόμενον αὐλητήν, τότ' ἤδη κρότος ἐξαίσιος ἐγένετο καὶ κραυγὴ τῶν θεωμένων. ἔτι δὲ τούτων ἐκ παρατάξεως ἀγωνιζομένων ὀρχησταὶ δύο εἰσήγοντο μετὰ συμφωνίας εἰς τὴν ὀρχήστραν· καὶ πύκται τέσσαρες ἀνέβησαν ἐπὶ τὴν σκηνὴν μετὰ σαλπιγκτῶν καὶ βυκανιστῶν. ὁμοῦ δὲ τούτων πάντων ἀγωνιζομένων ἄλεκτον ἦν τὸ συμβαῖνον. περὶ δὲ τῶν τραγῳδῶν, φησὶν ὁ Πολύβιος, e ὅ τι ἂν ἐπιβάλωμαι λέγειν, δόξω τισὶ διαχλευάζειν.

5. ταῦτα τοῦ Οὐλπιανοῦ διεξελθόντος καὶ πάντων ἀνακακχασάντων ἐπὶ ταῖς ἀνικίοις ταύταις θέαις, ἐγένοντό τινες λόγοι καὶ περὶ τῶν καλουμένων πλά-

νων· καὶ ἐζητεῖτο εἰ μνήμη τις καὶ περὶ τούτων ἐγένετο παρὰ τοῖς παλαιοτέροις· περὶ γὰρ θαυματοποιῶν ἤδη προειρήκαμεν. καὶ ὁ Μάγνος ἔφη, Διονύσιος μὲν ὁ Σινωπεὺς ὁ τῆς κωμῳδίας ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ Ὁμώνυμοι μνημονεύει Κηφισοδώρου τοῦ πλάνου διὰ τούτων

f Κηφισόδωρόν φασιν ἐπικαλούμενον
πλάνον τιν᾽ ἐν Ἀθήναις γενέσθαι, τὴν σχολὴν
εἰς τοῦτο τὸ μέρος τοῦ βίου καταχρώμενον.
ἐντυγχάνοντα πρὸς τὸ σιμὸν ἀνατρέχειν,
ἥσυχα καθεῖναι τῇ 'πὶ τῇ βακτηρίᾳ.

μνημονεύει δ᾽ αὐτοῦ καὶ Νικόστρατος ἐν Σύρῳ

Κηφισόδωρον οὐ κακῶς μὰ τὸν Δία
τὸν πλάνον φασὶ στενωπὸν εἰς στενὸν στῆσαί
τινας
ἀγκαλίδας ἔχοντας, ὥστε μὴ παρελθεῖν μηδένα.

616 Πανταλέοντος δὲ μνημονεύει Θεόγνητος ἐν Φιλοδεσπότῳ

ὁ Πανταλέων μὲν αὐτὸς ἀστὸς τοὺς ξένους
τούς τ᾽ ἀγνοοῦντας αὐτὸν ἐπλάνα, καὶ σχεδὸν
ἀπεκραιπάλα τὰ πλεῖστα, τοῦ γελάσαι χάριν
ἰδίαν τιν᾽ αὑτῷ θέμενος ἀδολεσχίαν.

καὶ Χρύσιππος δ᾽ ὁ φιλόσοφος ἐν πέμπτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς περὶ τοῦ Πανταλέοντος τάδε γράφει 'ὁ δὲ πλάνος Πανταλέων τελευτᾶν μέλλων
b ἑκάτερον τῶν υἱῶν κατ᾽ ἰδίαν ἐξηπάτησε, φήσας μόνῳ αὐτῷ λέγειν ὅπου κατορωρύχοι τὸ χρυσίον· ὥστε μάτην ὕστερον κοινῇ σκάπτοντας αἰσθέσθαι ἐξηπατημένους.'

6. οὐκ ἠπόρει δ᾽ ἡμῶν τὸ συμπόσιον οὐδὲ τῶν φιλοσκωπτούντων. περὶ δὲ τοιούτου τινὸς πάλιν ὁ Χρύσιππος ἐν τῷ αὐτῷ γράφει 'φιλοσκώπτης μέλλων

ὑπὸ τοῦ δημίου σφάττεσθαι εἶπε θέλειν ὥσπερ τὸ κύκνειον ᾄσας ἀποθανεῖν. ἐπιτρέψαντος δ' ἐκείνου ἔσκωψεν.' ὑπὸ δὴ τῶν τοιούτων πολλάκις ὁ Μυρτίλος c σκωφθεὶς καὶ ἀγανακτήσας εἶπε καλῶς Λυσίμαχον τὸν βασιλέα πεποιηκέναι. Τελεσφόρον γὰρ ἕνα τῶν ὑπάρχων αὐτοῦ ἐπειδὴ ἔσκωψέ ποτε ἐν συμποσίῳ τὴν Ἀρσινόην (γυνὴ δὲ ἦν τοῦ Λυσιμάχου) ὡς ἐμετικὴν οὖσαν εἰπών

κακῶν κατάρχεις τήνδ' ἐμοῦσαν εἰσάγων,

ὁ Λυσίμαχος ἀκούσας ἐμβληθῆναι αὐτὸν ἐκέλευσεν εἰς γαλεάγραν, καὶ δίκην θηρίου περιφερόμενον καὶ τρεφόμενον κολαζόμενον οὕτως ἐποίησεν ἀποθανεῖν. σὺ δέ, ὦ Οὐλπιανέ, εἰ τὴν γαλεάγραν ζητεῖς, ἔχεις παρ' Ὑπερείδῃ τῷ ῥήτορι· ὅπου δέ, σὺ ζήτει. καὶ Ταχὼς d δ' ὁ Αἰγυπτίων βασιλεὺς Ἀγησίλαον σκώψας τὸν Λακεδαιμονίων βασιλέα, ὅτ' ἦλθεν αὐτῷ συμμαχήσων, ἦν γὰρ βραχὺς τὸ σῶμα, ἰδιώτης ἐγένετο, ἀποστάντος ἐκείνου τῆς συμμαχίας. τὸ δὲ σκῶμμα τοῦτ' ἦν

ὤδινεν ὄρος, Ζεὺς δ' ἐφοβεῖτο, τὸ δ' ἔτεκεν μῦν.

ὅπερ ἀκούσας ὁ Ἀγησίλαος καὶ ὀργισθεὶς ἔφη, φανήσομαί σοι ποτὲ καὶ λέων. ὕστερον γὰρ ἀφισταμένων τῶν Αἰγυπτίων, ὥς φησι Θεόπομπος καὶ Λυκέας ὁ Ναυκρατίτης ἐν τοῖς Αἰγυπτιακοῖς, οὐδὲν αὐτῷ e συμπράξας ἐποίησεν ἐκπεσόντα τῆς ἀρχῆς φυγεῖν εἰς Πέρσας.

7. πολλῶν οὖν πολλάκις ὄντων τῶν ἀκροαμάτων καὶ τῶν αὐτῶν οὐκ ἀεί, ἐπειδὴ πολλοὶ περὶ αὐτῶν ἐγένοντο λόγοι, τὰ ὀνόματα τῶν εἰπόντων παραλιπὼν τῶν πραγμάτων μνησθήσομαι. περὶ μὲν γὰρ αὐλῶν ὃ μέν τις ἔφη τὸν Μελανιππίδην καλῶς ἐν τῷ Μαρ-

σύᾳ διασύροντα τὴν αὐλητικὴν εἰρηκέναι περὶ τῆς Ἀθηνᾶς

ἁ μὲν Ἀθάνα
ὄργαν' ἔρριψέν θ' ἱερᾶς ἀπὸ χειρὸς
εἶπέ τ' 'ἔρρετ' αἴσχεα σωματόλυμα,
f οὔ με τᾷδ' ἐγὼ κακότατι δίδωμι.'

πρὸς ὃν ἀντιλέγων ἄλλος ἔφη, ἀλλ' ὅ γε Σελινούντιος Τελέστης τῷ Μελανιππίδῃ ἀντικορυσσόμενος ἐν Ἄργοι ἔφη (ὁ δὲ λόγος ἐστὶ περὶ τῆς Ἀθηνᾶς)

ὃν σοφὸν σοφὰν λαβοῦσαν οὐκ ἐπέλπομαι νόῳ
δρυμοῖς ὀρείοις ὄργανον δῖαν Ἀθάναν
δυσόφθαλμον αἶσχος ἐκπλαγεῖσαν
αὖθις ἐκ χερῶν βαλεῖν,
νυμφαγενεῖ χοροκτύπῳ φηρὶ Μαρσύᾳ κλέος.
617 τί γάρ νιν εὐηράτοιο κάλλεος ὀξὺς ἔρως ἔτειρεν,
ᾇ παρθενίαν ἄγαμον καὶ ἄπαιδ' ἀπένειμε Κλωθώ;

ὡς οὐκ ἂν εὐλαβηθείσης τὴν αἰσχρότητα τοῦ εἴδους διὰ τὴν παρθενίαν. ἑξῆς τέ φησιν

ἀλλὰ μάταν ἀχόρευτος
ἅδε ματαιολόγων φάμα προσέπταθ' Ἑλλάδα μουσοπόλων
σοφᾶς ἐπίφθονον βροτοῖς τέχνας ὄνειδος.

μετὰ ταῦτα δὲ ἐγκωμιάζων τὴν αὐλητικὴν λέγει

τὰν οὐ μεριθοτάταν Βρομίῳ παρέδωκε σεμνᾶς
δαίμονος ἀερθὲν πνεῦμ' αἰολοπτερύγων
σὺν ἀγλαᾶν ὠκύτατι χειρῶν.

b κομψῶς δὲ κἀν τῷ Ἀσκληπιῷ ὁ Τελέστης ἐδήλωσε τὴν τῶν αὐλῶν χρείαν ἐν τούτοις

ἢ Φρύγα καλλιπνόων αὐλῶν ἱερῶν βασιλῆα,
λυδὸν ὃς ἅρμοσε πρῶτος
δωρίδος ἀντίπαλον μούσας νόμον αἰόλον ὀμφᾷ

πνεύματος εὔπτερον αὔραν ἀμφιπλέκων καλάμοις.

8. *Πρατίνας* δὲ ὁ *Φλιάσιος*, αὐλητῶν καὶ χορευτῶν μισθοφόρων κατεχόντων τὰς ὀρχήστρας, ἀγανακτεῖν τινὰς ἐπὶ τῷ τοὺς αὐλητὰς μὴ συναυλεῖν τοῖς χοροῖς, καθάπερ ἦν πάτριον, ἀλλὰ τοὺς χοροὺς συν- c
άδειν τοῖς αὐληταῖς· ὃν οὖν εἶχε θυμὸν κατὰ τῶν ταῦτα ποιούντων ὁ *Πρατίνας* ἐμφανίζει διὰ τοῦδε τοῦ ὑπορχήματος

τίς ὁ θόρυβος ὅδε; τί τάδε τὰ χορεύματα;
τίς ὕβρις ἔμολεν ἐπὶ *Διονυσιάδα* πολυπάταγα θυμέλαν;
ἐμὸς ἐμὸς ὁ *Βρόμιος*·
ἐμὲ δεῖ κελαδεῖν, ἐμὲ δεῖ παταγεῖν d
ἀν᾽ ὄρεα σύμενον μετὰ ναϊάδων,
οἷά τε κύκνον ἄγοντα
ποικιλόπτερον μέλος.
τὰν ἀοιδὰν κατέστασε *Πιερὶς* βασίλειαν· ὁ δ᾽ αὐλὸς
ὕστερον χορευέτω. καὶ γάρ ἐσθ᾽ ὑπηρέτας.
κώμῳ μόνον θυραμάχοις τε πυγμαχίαισι νέων θέλει παρ᾽ οἶνον
ἔμμεναι στρατηλάτας. e
παῖε τὸν φρυναίου ποικίλου προανέχοντα,
φλέγε τὸν ὀλεσισιαλοκάλαμον,
λαλοβαρυόπα παραμελορυθμοβάταν θ᾽
ὑπαὶ τρυπάνῳ δέμας πεπλασμένον.
ἢν ἰδού, ἅδε σοι δεξιὰ f
καὶ ποδὸς διαρριφά,
θριαμβοδιθύραμβε κισσόχαιτ᾽ ἄναξ,
ἄκουε τὰν ἐμὰν δώριον χορείαν.

9. περὶ δὲ τῆς αὐλῶν πρὸς λύραν κοινωνίας, ἐπεὶ

πολλάκις καὶ αὐτὴ ἡμᾶς ἡ συναυλία ἔθελγεν, Ἔφιππος ἐν Ἐμπολῇ φησί

618 κοινωνεῖ γάρ, ὦ μειράκιον, εὖ
ἡ ᾽ν τοῖσιν αὐλοῖς μουσικὴ κἀν τῇ λύρᾳ
τοῖς ἡμετέροισι παιγνίοις. ὅταν γὰρ εὖ
συναρμόσωσι τοῖς συνοῦσι τὸν τρόπον,
τόθ᾽ ἡ μεγίστη τέρψις ἐξευρίσκεται.

τὴν δὲ συναυλίαν τί ποτ᾽ ἐστὶν ἐμφανίζει Σῆμος ὁ Δήλιος ἐν πέμπτῳ Δηλιάδος γράφων οὕτως ‛ἀγνοουμένης δὲ παρὰ πολλοῖς τῆς συναυλίας λεκτέον. ἦν τις ἀγὼν συμφωνίας ἀμοιβαῖος αὐλοῦ καὶ ῥυθμοῦ χωρὶς λόγου τοῦ προσμελῳδοῦντος.᾽ ἀστείως δὲ αὐ-
b τὴν Ἀντιφάνης φανερὰν ποιεῖ ἐν τῷ Αὐλητῇ λέγων

ποίαν, φράσον γάρ, ἧδε τὴν συναυλίαν
ταύτην; ἐπίσταται γάρ, ἀλλ᾽ ηὔλουν ἔτι
μαθόντες, ὥστε τοὺς αὐλοὺς σύ τε
αὕτη τε λήψεσθ᾽, εἶθ᾽ ἃ μὲν σὺ τυγχάνεις
αὐλῶν πέραινε, δέξεται δὲ τἆλλα σοι
ἥδ᾽. οὔτι κοινόν ἐστιν, οὐ χωρὶς πάλιν,
οὐ νεύματ᾽, οὐ προβλήμαθ᾽, οἷς σημαίνετε
ἕκαστα.

λίβυν δὲ τὸν αὐλὸν προσαγορεύουσιν οἱ ποιηταί, φησὶ Δοῦρις ἐν δευτέρῳ τῶν περὶ Ἀγαθοκλέα, ἐπειδὴ
c Σειρίτης, ὃς δοκεῖ πρῶτος εὑρεῖν τὴν αὐλητικήν, Λίβυς ἦν τῶν νομάδων, ὃς καὶ κατηύλησε τὰ μητρῷα πρῶτος. ‛αὐλήσεων δ᾽ εἰσὶν ὀνομασίαι, ὥς φησι Τρύφων ἐν δευτέρῳ Ὀνομασιῶν, αἵδε· κῶμος βουκολιασμὸς γίγγρας τετράκωμος ἐπίφαλλος χορεῖος καλλίνικος πολεμικὸν ἡδύκωμος σικιννοτύρβη θυροκοπικόν, τὸ δ᾽ αὐτὸ καὶ κρουσίθυρον, κνισμὸς μόθων. ταῦτα δὲ πάντα μετ᾽ ὀρχήσεως ηὐλεῖτο.᾽

10. καὶ ᾠδῆς δὲ ὀνομασίας καταλέγει ὁ Τρύφων

τάσδε ‘ἵμαιος ἡ ἐπιμύλιος καλουμένη, ἣν παρὰ τοὺς d
ἀλέτους ᾖδον, ἴσως ἀπὸ τῆς ἱμαλίδος. ἱμαλὶς δ' ἐστὶ
παρὰ Δωριεῦσιν ὁ νόστος καὶ τὰ ἐπίμετρα τῶν ἀλέ-
των. ἡ δὲ τῶν ἱστουργούντων ᾠδὴ ἔλινος, ὡς Ἐπί-
χαρμος ἐν Ἀταλάνταις ἱστορεῖ. ἡ δὲ ταλασιουργῶν
ἴουλος.’ Σῆμος δ' ὁ Δήλιος ἐν τῷ περὶ παιάνων φησί
‘τὰ δράγματα τῶν κριθῶν αὐτὰ καθ' αὑτὰ προσηγό-
ρευον ἀμάλας, συναθροισθέντα δὲ καὶ ἐκ πολλῶν
μίαν γενόμενα δέσμην οὔλους καὶ ἰούλους, καὶ τὴν
Δήμητρα ὁτὲ μὲν χλόην ὁτὲ δὲ Ἰουλώ. ἀπὸ τῶν οὖν
τῆς Δήμητρος εὑρημάτων τούς τε καρποὺς καὶ τοὺς e
ὕμνους τοὺς εἰς τὴν θεὸν οὔλους καλοῦσι καὶ ἰού-
λους. δημήτρουλοι καὶ καλλίουλοι. καί

πλεῖστον οὖλον ἵει, ἴουλον ἵει.

ἄλλοι δέ φασιν ἐριουργῶν εἶναι τὴν ᾠδήν. αἱ δὲ τῶν
τιτθευουσῶν ᾠδαὶ καταβαυκαλήσεις ὀνομάζονται. ἦν
δὲ καὶ ἐπὶ ταῖς ἐώραις τις ἐπ' Ἠριγόνῃ, ἣν καὶ ἀλῆτιν
λέγουσιν ᾠδήν. Ἀριστοτέλης γοῦν ἐν τῇ Κολοφωνίων
πολιτείᾳ φησίν ‘ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος
ὕστερον βιαίῳ θανάτῳ. λέγεται δὲ γενέσθαι τρυφῶν f
τις, ὡς ἐκ τῆς ποιήσεως δῆλόν ἐστιν. ἔτι γὰρ καὶ
νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη περὶ τὰς ἐώρας.’
ἡ δὲ τῶν θεριστῶν ᾠδὴ λιτυέρσης καλεῖται. καὶ 619
τῶν μισθωτῶν δέ τις ἦν ᾠδὴ τῶν ἐς τοὺς ἀγροὺς
φοιτώντων, ὡς Τηλεκλείδης φησὶν ἐν Ἀμφικτύοσι·
καὶ βαλανέων ἄλλαι, ὡς Κράτης ἐν Τόλμαις· καὶ τῶν
πτισσουσῶν ἄλλη τις, ὡς Ἀριστοφάνης ἐν Θεσμοφο-
ριαζούσαις καὶ Νικοχάρης ἐν Ἡρακλεῖ χορηγῷ. ἦν
δὲ καὶ τοῖς ἡγουμένοις τῶν βοσκημάτων ὁ βουκολια-
σμὸς καλούμενος. Δίομος δὲ ἦν ὁ βουκόλος Σικελιώ-
της ὁ πρῶτος εὑρὼν τὸ εἶδος· μνημονεύει δ' αὐτοῦ b
Ἐπίχαρμος ἐν Ἀλκυόνι καὶ ἐν Ὀδυσσεῖ ναυαγῷ. ἡ δ'

ἐπὶ τοῖς θανάτοις καὶ λύπαις ᾠδὴ ὀλοφυρμὸς καλεῖ-
ται. αἱ δὲ ἴουλοι καλούμεναι ᾠδαὶ Δήμητρι καὶ Φερ-
σεφόνῃ πρέπουσιν. ἡ δὲ εἰς Ἀπόλλωνα ᾠδὴ φιληλιάς,
ὡς Τελέσιλλα παρίστησιν· οὔπιγγοι δὲ αἱ εἰς Ἄρτε-
μιν. ᾔδοντο δὲ Ἀθήνησι καὶ οἱ Χαρώνδου νόμοι παρ'
οἶνον, ὡς Ἕρμιππός φησιν ἐν ἕκτῳ περὶ νομοθετῶν.
Ἀριστοφάνης δ' ἐν Ἀττικαῖς φησι λέξεσιν 'ἱμαῖος
ᾠδὴ μυλωθρῶν, ἐν δὲ γάμοις ὑμέναιος, ἐν δὲ πέν-
c θεσιν ἰάλεμος, λίνος δὲ καὶ αἴλινος οὐ μόνον ἐν πέν-
θεσιν ἀλλὰ καὶ ἐπ' εὐτυχεῖ μολπᾷ, κατὰ τὸν Εὐ-
ριπίδην.'

11. Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν νόμιον κα-
λεῖσθαί τινά φησιν ᾠδὴν ἀπ' Ἠριφανίδος, γράφων
οὕτως 'Ἠριφανὶς ἡ μελοποιὸς Μενάλκου κυνηγε-
τοῦντος ἐρασθεῖσα ἐθήρευε μεταθέουσα ταῖς ἐπιθυ-
μίαις. φοιτῶσα γὰρ καὶ πλανωμένη πάντας τοὺς ὀρεί-
ους ἐπεξῄει δρυμούς, ὡς μῦθον εἶναι τοὺς λεγομένους
Ἰοῦς δρόμους· ὥστε μὴ μόνον τῶν ἀνθρώπων τοὺς
ἀστοργίᾳ διαφέροντας ἀλλὰ καὶ τῶν θηρῶν τοὺς ἀνη-
d μερωτάτους συνδακρῦσαι τῷ πάθει, λαβόντας αἴσθη-
σιν ἐρωτικῆς ἐλπίδος. ὅθεν ἐποίησέ τε καὶ ποιήσασα
περιῄει κατὰ τὴν ἐρημίαν, ὥς φασιν, ἀναβοῶσα καὶ
ᾄδουσα τὸ καλούμενον νόμιον, ἐν ᾧ ἐστι 'μακραὶ
δρύες ὦ Μέναλκα.' Ἀριστόξενος δὲ ἐν τετάρτῳ περὶ
μουσικῆς 'ᾖδον (φησὶν) αἱ ἀρχαῖαι γυναῖκες Καλύκην
τινὰ ᾠδήν. Στησιχόρου δ' ἦν ποίημα, ἐν ᾧ Καλύκη
τις ὄνομα, ἐρῶσα Εὐάθλου νεανίσκου, σωφρόνως
εὔχεται τῇ Ἀφροδίτῃ γαμηθῆναι αὐτῷ. ἐπεὶ δὲ ὑπερ-
e εῖδεν ὁ νεανίσκος, κατεκρήμνισεν ἑαυτήν. ἐγένετο
δὲ τὸ πάθος περὶ Λευκάδα. σωφρονικὸν δὲ πάνυ
κατεσκεύασεν ὁ ποιητὴς τὸ τῆς παρθένου ἦθος, οὐκ
ἐκ παντὸς τρόπου θελούσης συγγενέσθαι τῷ νεανί-

σκῳ ἀλλ' εὐχομένης, εἰ δύναιτο, γυνὴ τοῦ Εὐάθλου γενέσθαι κουριδία, ἢ εἰ τοῦτο μὴ δυνατὸν ἀπαλλαγῆναι τοῦ βίου.' ἐν δὲ τοῖς κατὰ βραχὺ ὑπομνήμασιν ὁ Ἀριστόξενος '"Ιφικλος (φησὶν) Ἁρπαλύκην ἐρασθεῖσαν ὑπερεῖδεν. ἣ δὲ ἀπέθανε, καὶ γίνεται ἐπ' αὐτῇ παρθένοις ᾠδῆς ἀγών, ἥτις Ἁρπαλύκη (φησὶ) καλεῖται.' Νύμφις δ' ἐν πρώτῳ περὶ Ἡρακλείας περὶ Μα- f
ριανδυνῶν διηγούμενός φησιν 'ὁμοίως δὲ καὶ τῶν ᾠδῶν ἐνίας κατανοήσειεν ἄν τις, ἃς ἐκεῖνοι κατά τινα ἐπιχωριαζομένην παρ' αὐτοῖς συνήθειαν ᾄδοντες ἀνακαλοῦνταί τινα τῶν ἀρχαίων προσαγορεύοντες Βῶρμον. τοῦτον δὲ λέγουσιν υἱὸν γενέσθαι ἀνδρὸς ἐπιφανοῦς καὶ πλουσίου, τῷ δὲ κάλλει καὶ τῇ κατὰ 620
τὴν ἀκμὴν ὥρᾳ πολὺ τῶν ἄλλων διενεγκεῖν· ὃν ἐφεστῶτα ἔργοις ἰδίοις καὶ βουλόμενον τοῖς θερίζουσι δοῦναι πιεῖν βαδίζοντα ἐφ' ὕδωρ ἀφανισθῆναι. ζητεῖν οὖν αὐτὸν τοὺς ἀπὸ τῆς χώρας μετά τινος μεμελῳδημένου θρήνου καὶ ἀνακλήσεως, ᾧ καὶ νῦν ἔτι πάντες χρώμενοι διατελοῦσι. τοιοῦτος δ' ἐστὶ καὶ ὁ παρ' Αἰγυπτίοις καλούμενος Μάνερως.'

12. οὐκ ἀπελίποντο δὲ ἡμῶν τῶν συμποσίων οὐδὲ ῥαψῳδοί. ἔχαιρε γὰρ τοῖς Ὁμήρου ὁ Λαρήνσιος b
ὡς ἄλλος οὐδὲ εἷς, ὡς λῆρον ἀποφαίνειν Κάσανδρον τὸν Μακεδονίας βασιλεύσαντα, περὶ οὗ φησι Καρύστιος ἐν ἱστορικοῖς ὑπομνήμασιν ὅτι οὕτως ἦν φιλόμηρος, ὡς διὰ στόματος ἔχειν τῶν ἐπῶν τὰ πολλά· καὶ Ἰλιὰς ἦν αὐτῷ καὶ Ὀδύσσεια ἰδίως γεγραμμέναι. ὅτι δ' ἐκαλοῦντο οἱ ῥαψῳδοὶ καὶ ὁμηρισταὶ Ἀριστοκλῆς εἴρηκεν ἐν τῷ περὶ χορῶν. τοὺς δὲ νῦν ὁμηριστὰς ὀνομαζομένους πρῶτος εἰς τὰ θέατρα παρήγαγε Δημήτριος ὁ Φαληρεύς. Χαμαιλέων δ' ἐν τῷ περὶ c
Στησιχόρου καὶ μελῳδηθῆναί φησιν οὐ μόνον τὰ

Ὁμήρου ἀλλὰ καὶ τὰ Ἡσιόδου καὶ Ἀρχιλόχου, ἔτι δὲ Μιμνέρμου καὶ Φωκυλίδου. Κλέαρχος δ᾽ ἐν τῷ προτέρῳ περὶ γρίφων ‘τὰ Ἀρχιλόχου (φησὶν) ὁ Σιμωνίδης ὁ Ζακύνθιος ἐν τοῖς θεάτροις ἐπὶ δίφρου καθήμενος ἐρραψῴδει.’ Λυσανίας δ᾽ ἐν τῷ πρώτῳ περὶ ἰαμβοποιῶν Μνασίωνα τὸν ῥαψῳδὸν λέγει ἐν ταῖς δείξεσι τῶν Σιμωνίδου τινὰς ἰάμβων ὑποκρίνεσθαι. d τοὺς δ᾽ Ἐμπεδοκλέους καθαρμοὺς ἐρραψῴδησεν ὀλυμπίασι Κλεομένης ὁ ῥαψῳδός, ὥς φησι Δικαίαρχος ἐν τῷ ὀλυμπικῷ. Ἰάσων δ᾽ ἐν τρίτῳ περὶ τῶν Ἀλεξάνδρου ἱερῶν ἐν Ἀλεξανδρείᾳ φησὶν ἐν τῷ μεγάλῳ θεάτρῳ ὑποκρίνασθαι Ἡγησίαν τὸν κωμῳδὸν τὰ Ἡσιόδου, Ἑρμόφαντον δὲ τὰ Ὁμήρου.

13. καὶ οἱ καλούμενοι δὲ ἱλαρῳδοί, οὓς νῦν τινὲς σιμῳδοὺς καλοῦσιν, ὡς Ἀριστοκλῆς φησὶν ἐν πρώτῳ περὶ χορῶν, τῷ τὸν Μάγνητα Σῖμον διαπρέψαι μᾶλλον τῶν διὰ τοῦ ἱλαρῳδεῖν ποιητῶν, συνεχῶς ἡμῖν e ἐπιφαίνονται. καταλέγει δὲ ὁ Ἀριστοκλῆς καὶ τούσδε ἐν τῷ περὶ μουσικῆς γράφων ὧδε ‘μαγῳδός· οὗτος δέ ἐστιν ὁ αὐτὸς τῷ λυσιῳδῷ.’ Ἀριστόξενος δέ φησι τὸν μὲν ἀνδρεῖα καὶ γυναικεῖα πρόσωπα ὑποκρινόμενον μαγῳδὸν καλεῖσθαι, τὸν δὲ γυναικεῖα ἀνδρείοις λυσιῳδόν· τὰ αὐτὰ δὲ μέλη ᾄδουσι καὶ τἆλλα πάντα δ᾽ ἐστὶν ὅμοια. ὁ δὲ ἰωνικολόγος τὰ Σωτάδου καὶ τὰ πρὸ τούτου ἰωνικὰ καλούμενα ποιήματα, Ἀλεξάνδρου τε τοῦ Αἰτωλοῦ καὶ Πύρητος τοῦ Μιλησίου καὶ Ἀλέξου καὶ ἄλλων τοιούτων ποιητῶν προφέρεται. καλεῖται f δὲ οὗτος καὶ κιναιδολόγος. ἤκμασε δὲ ἐν τῷ εἴδει τούτῳ Σωτάδης ὁ Μαρωνίτης, ὥς φησι Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ περὶ αὐτοῦ Σωτάδου συγγράμματι, καὶ ὁ τοῦ Σωτάδου υἱὸς Ἀπολλώνιος. ἔγραψε δὲ καὶ οὗτος περὶ τῶν τοῦ πατρὸς ποιημάτων σύγ-

γράμμα· ἐξ οὗ ἔστι κατιδεῖν τὴν ἄκαιρον παρρησίαν τοῦ Σωτάδου, κακῶς μὲν εἰπόντος Λυσίμαχον τὸν βασιλέα ἐν Ἀλεξανδρείᾳ, Πτολεμαῖον δὲ τὸν φιλάδελφον παρὰ Λυσιμάχῳ, καὶ ἄλλους τῶν βασιλέων ἐν ἄλλαις τῶν πόλεων. διόπερ τῆς δεούσης ἔτυχε τιμωρίας. ἐκπλεύσαντα γὰρ αὐτὸν τῆς Ἀλεξανδρείας, ὥς φησιν Ἡγήσανδρος ἐν τοῖς ὑπομνήμασι, καὶ δο- 621
κοῦντα διαπεφευγέναι τὸν κίνδυνον (εἰρήκει γὰρ εἰς τὸν βασιλέα Πτολεμαῖον πολλὰ δεινά, ἀτὰρ καὶ τόδε, ὅτε τὴν ἀδελφὴν Ἀρσινόην ἐγεγαμήκει,

εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς),

Πάτροκλος οὖν ὁ τοῦ Πτολεμαίου στρατηγὸς ἐν Καύνῳ τῇ νήσῳ λαβὼν αὐτὸν καὶ εἰς μολυβῆν κεραμίδα ἐμβαλὼν καὶ ἀναγαγὼν εἰς τὸ πέλαγος κατεπόντωσε. τοιαύτη δ' ἐστὶν αὐτοῦ ἡ ποίησις· Θεοδώρου τοῦ αὐλητοῦ Φιλῖνος ἦν πατήρ, εἰς ὃν ταῦτα ἔγραψεν b

ὃ δ' ἀποστεγάσας τὸ τρῆμα τῆς ὄπισθε λαύρης,
διὰ δενδροφόρου φάραγγος ἐξέωσε βροντὴν
ἠλέματον, ὁκοίην ἀροτὴρ γέρων χαλᾷ βοῦς.

14. σεμνότερος δὲ τῶν τοιούτων ἐστὶ ποιητῶν ὁ ἱλαρῳδὸς καλούμενος. οὐδὲ γὰρ σχινίζεται· χρῆται δ' ἐσθῆτι λευκῇ ἀνδρείᾳ καὶ στεφανοῦται χρυσοῦν στέφανον· καὶ τὸ μὲν παλαιὸν ὑποδήμασιν ἐχρῆτο, ὥς φησιν ὁ Ἀριστοκλῆς, νῦν δὲ κρηπῖσι. ψάλλει δ' αὐτῷ ἄρρην ἢ θήλεια, ὡς καὶ τῷ αὐλῳδῷ. δίδοται δὲ ὁ στέφανος τῷ ἱλαρῳδῷ καὶ τῷ αὐλῳδῷ, οὐ τῷ ψάλτῃ οὐδὲ τῷ αὐλητῇ. ὁ δὲ μαγῳδὸς καλούμενος c
τύμπανα ἔχει καὶ κύμβαλα, καὶ πάντα τὰ περὶ αὐτὸν ἐνδύματα γυναικεῖα· σχινίζεταί τε καὶ πάντα ποιεῖ τὰ ἔξω κόσμου, ὑποκρινόμενος ποτὲ μὲν γυναῖκα καὶ μοιχοὺς καὶ μαστροπούς, ποτὲ δὲ ἄνδρα μεθύοντα καὶ ἐπὶ κῶμον παραγινόμενον πρὸς τὴν ἐρωμένην.

φησὶ δὲ ὁ Ἀριστόξενος τὴν μὲν ἱλαρῳδίαν σεμνὴν d οὖσαν παρὰ τὴν τραγῳδίαν εἶναι, τὴν δὲ μαγῳδίαν παρὰ τὴν κωμῳδίαν. πολλάκις δὲ οἱ μαγῳδοὶ καὶ κωμικὰς ὑποθέσεις λαβόντες ὑπεκρίθησαν κατὰ τὴν ἰδίαν ἀγωγὴν καὶ διάθεσιν. ἔσχε δὲ τοὔνομα ἡ μαγῳδία ἀπὸ τοῦ οἱονεὶ μαγικὰ προσφέρεσθαι καὶ φαρμάκων ἐμφανίζειν δυνάμεις.

15. παρὰ δὲ Λακεδαιμονίοις κωμικῆς παιδιᾶς ἦν τις τρόπος παλαιός, ὥς φησι Σωσίβιος, οὐκ ἄγαν σπουδαῖος, ἅτε δὴ κἀν τούτοις τὸ λιτὸν τῆς Σπάρτης μεταδιωκούσης. ἐμιμεῖτο γάρ τις ἐν εὐτελεῖ τῇ λέξει κλέπτοντάς τινας ὀπώραν, ἢ ξενικὸν ἰατρὸν τοιαυτὶ e λέγοντα, ὡς Ἄλεξις ἐν Μανδραγοριζομένῃ διὰ τούτων παρίστησιν

ἐὰν ἐπιχώριος
ἰατρὸς εἴπῃ ʽτρύβλιον τούτῳ δότε
πτισάνης ἕωθεν᾽, καταφρονοῦμεν εὐθέως·
ἂν δὲ ʽπτισάναν καὶ τρύβλιον᾽, θαυμάζομεν.
καὶ πάλιν ἐὰν μὲν τεύτλιον, παρείδομεν·
ἐὰν δὲ σεῦτλον, ἡδέως ἠκούσαμεν·
ὡς οὐ τὸ σεῦτλον ταυτὸν ὂν τῷ τευτλίῳ.

ἐκαλοῦντο δ᾽ οἱ μετιόντες τὴν τοιαύτην παιδιὰν παρὰ τοῖς Λάκωσι δικηλισταί, ὡς ἄν τις σκευοποιοὺς εἴπῃ f καὶ μιμητάς. τοῦ δὲ εἴδους τῶν δικηλιστῶν πολλαὶ κατὰ τόπους εἰσὶ προσηγορίαι. Σικυώνιοι μὲν γὰρ φαλλοφόρους αὐτοὺς καλοῦσιν, ἄλλοι δ᾽ αὐτοκαβδάλους· οἳ δὲ φλύακας, ὡς Ἰταλοί· σοφιστὰς δὲ οἱ πολλοί· Θηβαῖοι δὲ τὰ πολλὰ ἰδίως ὀνομάζειν εἰωθότες ἐθελοντάς. ὅτι δὲ καινουργοῦσι κατὰ τὰς φωνὰς οἱ Θηβαῖοι Στράττις ἐπιδείκνυσιν ἐν Φοινίσσαις διὰ τούτων

ξυνίετ᾽ οὐδέν, πᾶσα Θηβαίων πόλις,

οὐδέν ποτ᾽ ἄλλ᾽· οἳ πρῶτα μὲν τὴν σηπίαν 622
ὀπιτθοτίλαν, ὥς λέγουσ᾽, ὀνομάζετε·
τὸν ἀλεκτρυόνα δ᾽ ὀρτάλιχα, τὸν ἰατρὸν δὲ δὴ
σάκταν, βέφυραν τὴν γέφυραν, τῦκα δὲ
τὰ σῦκα, κωτιλάδας δὲ τὰς χελιδόνας,
τὴν ἔνθεσιν δ᾽ ἄκολον, τὸ γελᾶν δὲ κριδδέμεν,
νεασπάτωτον δ᾽ ἤν τι νεοκάττυτον ᾖ.

16. Σῆμος δ᾽ ὁ Δήλιος ἐν τῷ περὶ παιάνων ʽοἱ αὐτοκάβδαλοι (φησὶ) καλούμενοι ἐστεφανωμένοι b κιττῷ σχέδην ἐπέραινον ῥήσεις. ὕστερον δὲ ἴαμβοι ὠνομάσθησαν αὐτοί τε καὶ τὰ ποιήματα αὐτῶν. οἱ δὲ ἰθύφαλλοι (φησὶ) καλούμενοι προσωπεῖον μεθυόντων ἔχουσι καὶ ἐστεφάνωνται χειρῖδας ἀνθινὰς ἔχοντες· χιτῶσι δὲ χρῶνται μεσολεύκοις καὶ περιέζωνται ταραντῖνον καλύπτον αὐτοὺς μέχρι τῶν σφυρῶν. σιγῇ δὲ διὰ τοῦ πυλῶνος εἰσελθόντες, ὅταν κατὰ μέσην τὴν ὀρχήστραν γένωνται, ἐπιστρέφουσιν εἰς τὸ θέατρον λέγοντες

ἀνάγετ᾽ ἀνάγετε πάντες, εὐρυχωρίαν c
τῷ θεῷ ποιεῖτε.
ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφυδωμένος
διὰ μέσου βαδίζειν.

οἱ δὲ φαλλοφόροι (φησὶ) προσωπεῖον μὲν οὐ λαμβάνουσι, προπόλιον δὲ ἐξ ἑρπύλλου περιτιθέμενοι καὶ παιδέρωτας ἐπάνω τούτου ἐπιτίθενται στέφανόν τε δασὺν ἴων καὶ κιττοῦ· καυνάκας τε περιβεβλημένοι παρέρχονται οἱ μὲν ἐκ παρόδου οἱ δὲ κατὰ μέσας τὰς θύρας βαίνοντες ἐν ῥυθμῷ καὶ λέγοντες

σοί, Βάκχε, τάνδε μοῦσαν ἀγλαΐζομεν,
ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει,
καινάν, ἀπαρθένευτον, οὔ τι ταῖς πάρος d

κεχρημέναν ᾠδαῖσιν, ἀλλ' ἀκήρατον
κατάρχομεν τὸν ὕμνον.

εἶτα προστρέχοντες ἐτώθαζον οὓς ἂν προέλοιντο, στάδην δὲ ἔπραττον· ὁ δὲ φαλλοφόρος ἰθὺ βαδίζων καταπλησθεὶς αἰθάλῳ.'

17. ἐπεὶ δὲ ἐνταῦθα τοῦ λόγου ἐσμέν, οὐκ ἄξιον ἡγοῦμαι παραλιπεῖν τὰ περὶ Ἀμοιβέως τοῦ καθ' ἡμᾶς κιθαρῳδοῦ,

ἀνδρὸς τεχνίτου κατὰ νόμους τῆς μουσικῆς.

οὗτός ποτε βράδιον ἥκων ἐπὶ τὸ συμπόσιον ἡμῶν, e ὡς ἔμαθε παρά τινος τῶν οἰκετῶν ἀποδειπνήσαντας, ἐβουλεύετο τί χρὴ ποιεῖν, ἕως παρελθὼν ὁ Σόφων αὐτῷ ὁ μάγειρος (γεγωνότερον δ' ἐφθέγγετο ὡς πάντας ἀκούειν) τὰ ἐξ Αὔγης εἶπεν Εὐβούλου

τί, ὦ πόνηρ', ἕστηκας ἐν πύλαις ἔτι,
ἀλλ' οὐ βαδίζεις; τοῖς δὲ γενναίως πάλαι
διεσπάρακται θερμὰ χηνίσκων μέλη,
διερράχισται σεμνὰ δελφάκων κρέα,
κατηλόκισται γαστρὸς ἐν μέσῳ κύκλος,
κατησίμωται πάντα τἀκροκώλια,
f νενωγάλισται σεμνὸς ἀλλᾶντος τόμος,
παρεντέτρωκται τευθὶς ἐξωπτημένη,
παρεγκέκαπται σταμνί' ἐννέ' ἢ δέκα.
ὥστ' εἴ τι βούλει τῶν λελειμμένων λαβεῖν,
ἔπειγ' ἔπειγε, μή ποθ' ὡς λύκος χανὼν
καὶ τῶνδ' ἁμαρτὼν ὕστερον συχνὸν δράμῃς.

πάντ' ἐστὶν ἡμῖν, κατὰ τὸν ἥδιστον Ἀντιφάνην ὃς ἐν τῷ Φιλοθηβαίῳ φησίν

ἥ τε γὰρ συνώνυμος
τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτίας
623 τμηθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης
χλιαίνετ' αἴρεθ' ἕψεται παφλάζεται

προσκάεθ᾽· ὥστε μηδ᾽ ἂν εἰ χαλκοῦς ἔχων
μυκτῆρας εἰσέλθοι τις, ἐξελθεῖν πάλιν
εἰκῇ· τοσαύτην ἐξακοντίζει πνοήν.
Β. λέγεις μάγειρον ζῶντα; Α. πλησίον δέ γε
ταύτης ἄσιτος ἡμέραν καὶ νύχθ᾽ ὅλην
κεστρεὺς λεπισθεὶς ἁλσὶ πασθεὶς ἐκστραφεὶς
χρωσθεὶς ὁμοῦ τι πρὸς τέλος δρόμου περῶν,
σίζει κεκραγώς, παῖς δ᾽ ἐφέστηκε ῥανῶν b
ὄξει· λίβυς τε καυλὸς ἐξηρασμένος
ἀκτῖσι θείαις σιλφίου παραστατεῖ.
Β. εἶτ᾽ οὐκ ἐπῳδούς φασιν ἰσχύειν τινές;
ἐγὼ γὰρ ἤδη τρεῖς ὁρῶ μασωμένους,
σοῦ ταῦτα συστρέφοντος. Α. ἥ τε σύννομος
τῆς κυφονώτου σῶμ᾽ ἔχουσα σηπίας,
ξιφηφόροισι χερσὶν ἐξωπλισμένη
τευθίς, μεταλλάξασα λευκαυγῆ φύσιν
σαρκὸς πυρωτοῖς ἀνθράκων ῥαπίσμασιν,
ξανθαῖσιν αὔραις σῶμα πᾶν ἀγάλλεται, c
δείπνου προφήτην λιμὸν ἐκκαλουμένη.
. . . . ὥστε γ᾽ εἴσιθι,
μὴ μέλλε, χώρει. δεῖ γὰρ ἠριστηκότας
πάσχειν, ἐάν τι καὶ παθεῖν ἡμᾶς δέῃ.

καὶ ὃς πάνυ ἐμμελέστατα ἀπαντήσας αὐτῷ ἀνεφώνησε τὰ ἐκ τοῦ Κλεάρχου Κιθαρῳδοῦ τάδε

γόγγρων τε λευκῶν κρέασι τοῖς κολλώδεσιν
βρόχθιζε. τούτοις γὰρ τρέφεται τὸ πνεῦμα καὶ
τὸ φωνάριον ἡμῶν περίσαρκον γίγνεται.

κρότου δ᾽ ἐπὶ τούτοις γενομένου καὶ πάντων ὁμοθυ- d
μαδὸν αὐτὸν καλεσάντων εἰσελθὼν καὶ πιὼν ἀναλαβών τε τὴν κιθάραν εἰς τοσοῦτον ἡμᾶς ἧσεν, ὡς πάντας θαυμάζειν τήν τε κιθάρισιν μετὰ τῆς τέχνης ταχίστην οὖσαν καὶ τῆς φωνῆς τὴν ἐμμέλειαν. ἐμοὶ

μὲν γὰρ οὐδὲν ἐλάττων εἶναι νομίζεται τοῦ παλαιοῦ Ἀμοιβέως, ὅν φησιν Ἀριστέας ἐν τῷ περὶ κιθαρῳδῶν ἐν Ἀθήναις κατοικοῦντα, καὶ πλησίον τοῦ θεάτρου οἰκοῦντα, εἰ ἐξέλθοι ᾀσόμενος, τάλαντον ἀττικὸν τῆς ἡμέρας λαμβάνειν.

e 18. περὶ δὲ μουσικῆς τῶν μὲν τάδε λεγόντων, ἄλλων δ' ἄλλα γ' ὁσημέραι, πάντων δ' ἐπαινούντων τὴν παιδιὰν ταύτην, Μασούριος ὁ πάντ' ἄριστος καὶ σοφὸς (καὶ γὰρ νόμων ἐξηγητὴς οὐδενὸς δεύτερος καὶ περὶ μουσικὴν ἐνδιατρίβων ἀεί· ἅπτεται γὰρ καὶ τῶν ὀργάνων) ἔφη, ὁ μὲν κωμῳδιοποιὸς Εὔπολις, ἄνδρες φίλοι, φησί

καὶ μουσικὴ πρᾶγμ' ἐστὶ βαθύ τι καὶ καμπύλον
ἀεί τε καινὸν ἐξευρίσκει τι τοῖς ἐπινοεῖν δυναμένοις.

διόπερ καὶ Ἀναξίλας ἐν Ὑακίνθῳ φησίν

f ἡ μουσικὴ δ' ὥσπερ Λιβύη πρὸς τῶν θεῶν
ἀεί τι καινὸν κατ' ἐνιαυτὸν θηρίον
τίκτει.

μέγας γάρ, ὦ μακάριοι, κατὰ τὸν Θεοφίλου Κιθαρῳδόν,

θησαυρός ἐστι καὶ βέβαιος μουσικὴ
ἅπασι τοῖς μαθοῦσι παιδευθεῖσί τε.

καὶ γὰρ τὰ ἤθη παιδεύει καὶ τοὺς θυμοειδεῖς καὶ τὰς γνώμας διαφόρους καταπραΰνει. Κλεινίας γοῦν ὁ πυθαγόρειος, ὡς Χαμαιλέων ὁ Ποντικὸς ἱστορεῖ, καὶ
624 τῷ βίῳ καὶ τοῖς ἤθεσι διαφορῶν, εἴ ποτε συνέβαινε χαλεπαίνειν αὐτὸν δι' ὀργήν, ἀναλαμβάνων τὴν λύραν ἐκιθάριζε. πρὸς δὲ τοὺς ἐπιζητοῦντας τὴν αἰτίαν ἔλεγε 'πραΰνομαι.' καὶ ὁ ὁμηρικὸς δὲ Ἀχιλλεὺς τῇ κιθάρᾳ κατεπραΰνετο, ἣν αὐτῷ ἐκ τῶν Ἠετίωνος λαφύρων μόνην Ὅμηρος χαρίζεται, καταστέλλειν τὸ πυρῶδες αὐτοῦ δυναμένην. μόνος γοῦν ἐν Ἰλιάδι

ταύτῃ χρῆται τῇ μουσικῇ. ὅτι δὲ καὶ νόσους ἰᾶται μουσικὴ Θεόφραστος ἱστόρησεν ἐν τῷ περὶ ἐνθουσιασμοῦ, ἰσχιακοὺς φάσκων ἀνόσους διατελεῖν, εἰ καταυλήσοι τις τοῦ τόπου τῇ φρυγιστὶ ἁρμονίᾳ. ταύτην δὲ b τὴν ἁρμονίαν Φρύγες πρῶτοι εὗρον καὶ μετεχειρίσαντο. διὸ καὶ τοὺς παρὰ τοῖς Ἕλλησιν αὐλητὰς φρυγίους καὶ δουλοπρεπεῖς τὰς προσηγορίας ἔχειν· οἷός ἐστιν ὁ παρὰ Ἀλκμᾶνι Σάμβας καὶ Ἄδων καὶ Τῆλος, παρὰ δὲ Ἱππώνακτι Κίων καὶ Κώδαλος καὶ Βάβυς, ἐφ' ᾧ καὶ ἡ παροιμία ἐπὶ τῶν ἀεὶ πρὸς τὸ χεῖρον αὐλούντων 'κάκιον ἢ Βάβυς αὐλεῖ.' ὁ δ' Ἀριστόξενος τὴν εὕρεσιν αὐτῆς Ὑάγνιδι τῷ Φρυγὶ ἀνατίθησιν.

19. Ἡρακλείδης δὲ ὁ Ποντικὸς ἐν τρίτῳ περὶ c μουσικῆς οὐδ' ἁρμονίαν φησὶ δεῖν καλεῖσθαι τὴν φρύγιον, καθάπερ οὐδὲ τὴν λύδιον. ἁρμονίας γὰρ εἶναι τρεῖς. τρία γὰρ καὶ γενέσθαι Ἑλλήνων γένη, Δωριεῖς Αἰολεῖς Ἴωνας. οὐ μικρᾶς οὖν οὔσης διαφορᾶς ἐν τοῖς τούτων ἤθεσι, Λακεδαιμόνιοι μὲν μάλιστα τῶν ἄλλων Δωριέων τὰ πάτρια διαφυλάττουσι· Θεσσαλοὶ δέ, οὗτοι γάρ εἰσι τὴν ἀρχὴν τοῦ γένους Αἰολεῦσι μεταδόντες, παραπλήσιον ἀεὶ ποιοῦνται τοῦ βίου τὴν ἀγωγήν· Ἰώνων δὲ τὸ πολὺ πλῆθος ἠλλοίωται d διὰ τὸ συμπεριφέρεσθαι τοῖς ἀεὶ δυναστεύουσιν αὐτοῖς τῶν βαρβάρων. τὴν οὖν ἀγωγὴν τῆς μελῳδίας ἣν οἱ Δωριεῖς ἐποιοῦντο δώριον ἐκάλουν ἁρμονίαν· ἐκάλουν δὲ καὶ αἰολίδα ἁρμονίαν ἣν Αἰολεῖς ᾖδον· ἰαστὶ δὲ τὴν τρίτην ἔφασκον, ἣν ἤκουον ᾀδόντων τῶν Ἰώνων. ἡ μὲν οὖν δώριος ἁρμονία τὸ ἀνδρῶδες ἐμφαίνει καὶ τὸ μεγαλοπρεπὲς καὶ οὐ διακεχυμένον οὐδ' ἱλαρόν, ἀλλὰ σκυθρωπὸν καὶ σφοδρόν, οὔτε δὲ ποικίλον οὔτε πολύτροπον. τὸ δὲ τῶν Αἰολέων ἦθος ἔχει τὸ γαῦρον καὶ ὀγκῶδες, ἔτι δὲ e

ὑπόχαυνον· ὁμολογεῖ δὲ ταῦτα ταῖς ἱπποτροφίαις αὐτῶν καὶ ξενοδοχίαις· οὐ πανοῦργον δέ, ἀλλὰ ἐξηρμένον καὶ τεθαρρηκός. διὸ καὶ οἰκεῖόν ἐστ' αὐτοῖς ἡ φιλοποσία καὶ τὰ ἐρωτικὰ καὶ πᾶσα ἡ περὶ τὴν δίαιταν ἄνεσις. διὸ καὶ περιέχουσι τὸ τῆς ὑποδωρίου καλουμένης ἁρμονίας ἦθος. αὕτη γάρ ἐστι, φησὶν ὁ Ἡρακλείδης, ἣν ἐκάλουν αἰολίδα· ὡς καὶ Λᾶσος ὁ Ἑρμιονεὺς ἐν τῷ εἰς τὴν Ἑρμιόνι Δήμητρα ὕμνῳ λέγων οὕτως

Δάματρα μέλπω Κόραν τε Κλυμένοιο ἄλοχον
Μελίβοιαν,
f ὕμνων ἀνάγων αἰολίδ' ἅμα βαρύβρομον ἁρμο-
νίαν.

ταῦτα δ' ᾄδουσι πάντες ὑποδώρια τὰ μέλη. ἐπεὶ οὖν τὸ μέλος ἐστὶν ὑποδώριον, εἰκότως αἰολίδα φησὶν εἶναι τὴν ἁρμονίαν ὁ Λᾶσος. καὶ Πρατίνας δέ πού φησι

μήτε σύντονον δίωκε μήτε τὰν ἀνειμέναν ἰαστὶ
μοῦσαν,
ἀλλὰ τὰν μέσαν νεῶν ἄρουραν αἰόλιζε τῷ μέλει.

ἐν δὲ τοῖς ἑξῆς σαφέστερόν φησι

625 πρέπει τοι πᾶσιν ἀοιδὰ λαβράκταις αἰολὶς ἁρ-
μονία.

πρότερον μὲν οὖν, ὡς ἔφην, αἰολίδα αὐτὴν ἐκάλουν, ὕστερον δὲ ὑποδώριον, ὥσπερ ἔνιοί φασιν, ἐν τοῖς αὐλοῖς τετάχθαι νομίσαντες αὐτὴν ὑπὸ τὴν δώριον ἁρμονίαν. ἐμοὶ δὲ δοκεῖ ὁρῶντας αὐτοὺς τὸν ὄγκον καὶ τὸ προσποίημα τῆς καλοκαγαθίας ἐν τοῖς τῆς ἁρμονίας ἤθεσι δώριον μὲν αὐτὴν οὐ νομίζειν, προσεμφερῆ δέ πως ἐκείνῃ· διόπερ ὑποδώριον ἐκάλεσαν, ὡς τὸ προσεμφερὲς τῷ λευκῷ ὑπόλευκον καὶ τὸ μὴ γλυκὺ μὲν ἐγγὺς δὲ τούτου λέγομεν ὑπόγλυκυ, οὕτως καὶ ὑποδώριον τὸ μὴ πάνυ δώριον.

20. ἑξῆς ἐπισκεψώμεθα τὸ τῶν Μιλησίων ἦθος, b ὃ διαφαίνουσιν οἱ Ἴωνες, ἐπὶ ταῖς τῶν σωμάτων εὐεξίαις βρενθυόμενοι καὶ θυμοῦ πλήρεις, δυσκατάλλακτοι, φιλόνεικοι, οὐδὲν φιλάνθρωπον οὐδὲ ἱλαρὸν ἐνδιδόντες, ἀστοργίαν καὶ σκληρότητα ἐν τοῖς ἤθεσιν ἐμφανίζοντες. διόπερ οὐδὲ τὸ τῆς ἰαστὶ γένος ἁρμονίας οὔτ' ἀνθηρὸν οὔτε ἱλαρόν ἐστιν, ἀλλ' αὐστηρὸν καὶ σκληρόν, ὄγκον δὲ ἔχον οὐκ ἀγεννῆ· διὸ καὶ τῇ τραγῳδίᾳ προσφιλὴς ἡ ἁρμονία. τὰ δὲ τῶν νῦν Ἰώνων ἤθη τρυφερώτερα καὶ πολὺ παραλλάττον τὸ τῆς ἁρμονίας ἦθος. φασὶ δὲ Πύθερμον τὸν Τήιον ἐν τῷ c γένει τῆς ἁρμονίας αὐτοῦ τούτῳ ποιῆσαι σκολιὰ μέλη· καὶ διὰ τὸ εἶναι τὸν ποιητὴν ἰωνικὸν ἰαστὶ κληθῆναι τὴν ἁρμονίαν. οὗτός ἐστι Πύθερμος οὗ μνημονεύει Ἀνάνιος ἢ Ἱππῶναξ ἐν τοῖς ἰάμβοις οὕτως

χρυσὸν λέγει Πύθερμος ὡς οὐδὲν τἆλλα.

λέγει δ' οὕτως ὁ Πύθερμος

οὐδὲν ἦν ἄρα τἆλλα πλὴν ὁ χρυσός.

οὐκοῦν καὶ κατὰ τοῦτον τὸν λόγον πιθανόν ἐστι τὸν Πύθερμον ἐκεῖθεν ὄντα ποιήσασθαι τὴν ἀγωγὴν τῶν μελῶν ἁρμόττουσαν τοῖς ἤθεσι τῶν Ἰώνων. διόπερ d ὑπολαμβάνω οὐχ ἁρμονίαν εἶναι τὴν ἰαστί, τρόπον δέ τινα θαυμαστὸν σχήματος ἁρμονίας. καταφρονητέον οὖν τῶν τὰς μὲν κατ' εἶδος διαφορὰς οὐ δυναμένων θεωρεῖν, ἐπακολουθούντων δὲ τῇ τῶν φθόγγων ὀξύτητι καὶ βαρύτητι καὶ τιθεμένων ὑπερμιξολύδιον ἁρμονίαν καὶ πάλιν ὑπὲρ ταύτης ἄλλην. οὐχ ὁρῶ γὰρ οὔτε τὴν ὑπερφρύγιον ἴδιον ἔχουσαν ἦθος· καίτοι τινές φασιν ἄλλην ἐξευρηκέναι καινὴν ἁρμονίαν ὑποφρύγιον· δεῖ δὲ τὴν ἁρμονίαν εἶδος ἔχειν e ἤθους ἢ πάθους καθάπερ ἡ λοκριστί. ταύτῃ γὰρ

ἔνιοι τῶν γενομένων κατὰ Σιμωνίδην καὶ Πίνδαρον ἐχρήσαντό ποτε, καὶ πάλιν κατεφρονήθη.

21. τρεῖς οὖν αὗται, καθάπερ ἐξ ἀρχῆς εἴπομεν εἶναι ἁρμονίας, ὅσα καὶ τὰ ἔθνη. τὴν δὲ φρυγιστὶ καὶ τὴν λυδιστὶ παρὰ τῶν βαρβάρων οὔσας γνωσθῆναι τοῖς Ἕλλησιν ἀπὸ τῶν σὺν Πέλοπι κατελθόντων εἰς τὴν Πελοπόννησον Φρυγῶν καὶ Λυδῶν. Λυδοὶ μὲν
f γὰρ αὐτῷ συνηκολούθησαν, διὰ τὸ τὴν Σίπυλον εἶναι τῆς Λυδίας· Φρύγες δέ, οὐχ ὅτι ὁμοτέρμονες τοῖς Λυδοῖς εἰσὶν ἀλλ' ὅτι καὶ αὐτῶν ἦρχεν ὁ Τάνταλος. ἴδοις δ' ἂν καὶ τῆς Πελοποννήσου πανταχοῦ μάλιστα δ' ἐν Λακεδαίμονι χώματα μεγάλα, ἃ καλοῦσι τάφους τῶν μετὰ Πέλοπος Φρυγῶν. μαθεῖν οὖν τὰς ἁρμονίας ταύτας τοὺς Ἕλληνας παρὰ τούτων. διὸ καὶ Τελέστης ὁ Σελινούντιός φησι

626 πρῶτοι παρὰ κρατῆρας Ἑλλήνων ἐν αὐλοῖς
συνοπαδοὶ Πέλοπος ματρὸς ὀρείας
φρύγιον ἄεισαν νόμον·
τοὶ δ' ὀξυφώνοις πηκτίδων ψαλμοῖς κρέκον
λύδιον ὕμνον.

22. οὐ παραληπτέον δὲ τὴν μουσικήν, φησὶ Πολύβιος ὁ Μεγαλοπολίτης, ὡς Ἔφορος ἱστορεῖ, ἐπὶ ἀπάτῃ καὶ γοητείᾳ παρεισῆχθαι τοῖς ἀνθρώποις. οὐδὲ τοὺς παλαιοὺς Κρητῶν καὶ Λακεδαιμονίων αὐ-
b λὸν καὶ ῥυθμὸν εἰς τὸν πόλεμον ἀντὶ σάλπιγγος εἰκῇ νομιστέον εἰσαγαγεῖν· οὐδὲ τοὺς πρώτους Ἀρκάδων εἰς τὴν ὅλην πολιτείαν τὴν μουσικὴν παραλαβεῖν, ὥστε μὴ μόνον ἐν παισὶν ἀλλὰ καὶ ἐν νεανίσκοις γενομένοις ὡς τριάκοντα ἐτῶν κατ' ἀνάγκην σύντροφον ποιεῖν αὐτήν, τἆλλα τοῖς βίοις ὄντας αὐστηροτάτους. παρὰ γοῦν μόνοις Ἀρκάσιν οἱ παῖδες ἐκ νηπίων ᾄδειν ἐθίζονται κατὰ νόμον τοὺς ὕμνους καὶ παιᾶνας, οἷς ἑκα-

στοι κατὰ τὰ πάτρια τοὺς ἐπιχωρίους ἥρωας καὶ θε-
οὺς ὑμνοῦσι. μετὰ δὲ ταῦτα τοὺς Τιμοθέου καὶ Φι-
λοξένου νόμους μανθάνοντες χορεύουσι κατ' ἐνιαυτὸν
τοῖς διονυσιακοῖς αὐληταῖς ἐν τοῖς θεάτροις οἱ μὲν c
[οὖν] παῖδες τοὺς παιδικοὺς ἀγῶνας οἱ δὲ νεανίσκοι
τοὺς τῶν ἀνδρῶν, καὶ παρ' ὅλον δὲ τὸν βίον ἐν ταῖς
συνουσίαις ταῖς κοιναῖς οὐ διὰ τῶν ἐπεισάκτων ἀκρο-
αμάτων, ὡς διὰ τῶν ἀνὰ μέρος ᾄδειν ἀλλήλοις προσ-
τάττοντες. καὶ τῶν μὲν ἄλλων μαθημάτων ἀρνηθῆ-
ναί τι μὴ εἰδέναι οὐδὲν αὐτοῖς αἰσχρόν ἐστι· τὸ δὲ
ᾄδειν ἀποτρίβεσθαι αἰσχρὸν παρ' αὐτοῖς νομίζεται.
καὶ μὴν ἐμβατήρια μετ' αὐλοῦ καὶ τάξεως ἀσκοῦντες,
ἔτι δὲ ὀρχήσεις ἐκπονοῦντες, μετὰ κοινῆς ἐπιστροφῆς
καὶ δαπάνης κατ' ἐνιαυτὸν ἐν τοῖς θεάτροις ἐπιδεί-
κνυνται. ταῦτ' οὖν αὐτοὺς εἴθισαν οἱ παλαιοὶ οὐ τρυ- d
φῆς καὶ περιουσίας χάριν, ἀλλὰ θεωροῦντες τὴν ἑκά-
στου κατὰ τὸν βίον σκληρότητα καὶ τὴν τῶν ἠθῶν
αὐστηρίαν, ἥτις αὐτοῖς παρέπεται διὰ τὴν τοῦ περι-
έχοντος ψυχρότητα καὶ στυγνότητα τὴν κατὰ πλεῖστον
ἐν τοῖς τόποις ὑπάρχουσαν, οἷς καὶ συνεξομοιοῦσθαι
πεφύκαμεν πάντες ἄνθρωποι· διὸ καὶ κατὰ τὰς ἐθνι-
κὰς διαστάσεις πλεῖστον ἀλλήλων διαφέρομεν ἤθει
καὶ μορφαῖς καὶ χρώμασι. πρὸς δὲ τούτοις συνόδους
κοινὰς καὶ θυσίας ἀνδράσι καὶ γυναιξὶ κατείθισαν,
ἔτι δὲ χοροὺς παρθένων ὁμοῦ καὶ παίδων, σπεύδον- e
τες τὸ τῆς φύσεως ἀτέραμνον διὰ τῆς τῶν ἐθισμῶν
κατασκευῆς ἐξημεροῦν καὶ πραΰνειν. ὧν Κυναιθεῖς
ὀλιγωρήσαντες εἰς τέλος, καίτοι σκληρότατον παρὰ
πολὺ τῆς Ἀρκαδίας ὁμοῦ τῷ τόπῳ καὶ τὸν ἀέρα ἔχον-
τες, πρὸς μὲν αὐτὰς τὰς ἐν ἀλλήλοις παρατριβὰς καὶ
φιλοτιμίας ὁρμήσαντες τέλος ἀπεθηριώθησαν οὕτως
ὡς μέγιστα ἀσεβήματα παρὰ μόνοις αὐτοῖς γίνεσθαι.

f καθ' οὓς δὲ καιροὺς τὴν μεγάλην σφαγὴν ἐποιήσαντο, εἰς ἅς τε πόλεις ἀρκαδικὰς κατὰ τὴν δίοδον εἰσῆλθον, οἱ μὲν ἄλλοι παραχρῆμα πάντες αὐτοὺς ἐξεκήρυξαν, Μαντινεῖς δὲ καὶ μετὰ τὴν ἀπαλλαγὴν αὐτῶν καθαρμὸν τῆς πόλεως ἐποιήσαντο, σφάγια περιαγαγόντες κύκλῳ τῆς χώρας ἁπάσης.

23. Ἀγίας δ' ὁ μουσικὸς ἔφη τὸν στύρακα τὸν ἐν ταῖς ὀρχήστραις θυμιώμενον τοῖς διονυσίοις φρύγιον ποιεῖν ὀδμὴν τοῖς αἰσθανομένοις. τὸ δ' ἀρχαῖον ἡ
627 μουσικὴ ἐπ' ἀνδρείαν προτροπὴ ἦν. Ἀλκαῖος γοῦν ὁ ποιητής, εἴ τις καὶ ἄλλος μουσικώτατος γενόμενος, πρότερα τῶν κατὰ ποιητικὴν τὰ κατὰ τὴν ἀνδρείαν τίθεται, μᾶλλον τοῦ δέοντος πολεμικὸς γενόμενος. διὸ καὶ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενός φησι

μαρμαίρει δὲ μέγας δόμος χαλκῷ· πᾶσα δ' Ἄρει
κεκόσμηται στέγα
λαμπραῖσιν κυνίαισι, καττᾶν λευκοὶ καθύπερθεν
ἵππιοι λόφοι
b νεύοισιν, κεφαλαῖσιν ἀνδρῶν ἀγάλματα· χάλ-
κιαι δ' αὖ πασσάλοις
κρύπτοισιν περικείμεναι λαμπραὶ κνάμιδες, ἄρ-
κος ἰσχυρῶ βέλευς·
θώρακές τε νέοι λίνω κοιλαί τε κατ' ἀσπίδες
βεβλημέναι.
πὰρ δ' αὖ χαλκιδικαὶ σπάθαι, πὰρ δὲ ζώματα
πολλὰ καὶ κυπαττίδες.
τῶν οὐκ ἔστι λαθέσθ', ἐπειδὴ πρώτισθ' ὑπὸ
ἔργον ἔσταμεν τόδε.

καίτοι μᾶλλον ἴσως ἥρμοττε τὴν οἰκίαν πλήρη εἶναι μουσικῶν ὀργάνων. ἀλλ' οἱ παλαιοὶ τὴν ἀνδρείαν
c ὑπελάμβανον εἶναι μεγίστην τῶν πολιτικῶν ἀρετῶν, καὶ ταύτῃ τὰ πολλὰ προσνέμειν . . . οὐ τοῖς ἄλλοις.

Ἀρχίλοχος γοῦν ἀγαθὸς ὢν ποιητὴς πρῶτον ἐκαυχήσατο τὸ δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώνων, δεύτερον δὲ ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ, λέγων

εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

ὁμοίως δὲ καὶ Αἰσχύλος τηλικαύτην δόξαν ἔχων διὰ τὴν ποιητικὴν οὐδὲν ἧττον ἐπὶ τοῦ τάφου ἐπιγραφῆναι ἠξίωσε μᾶλλον τὴν ἀνδρείαν ποιήσας d

ἀλκὴν δ' εὐδόκιμον μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

24. διόπερ καὶ οἱ ἀνδρειότατοι Λακεδαιμόνιοι μετ' αὐλῶν στρατεύονται, Κρῆτες δὲ μετὰ λύρας, μετὰ δὲ συρίγγων καὶ αὐλῶν Λυδοί, ὡς Ἡρόδοτος ἱστορεῖ. πολλοὶ δὲ καὶ τῶν βαρβάρων τὰς ἐπικηρυκείας ποιοῦνται μετ' αὐλῶν καὶ κιθάρας, καταπραΰνοντες τῶν ἐναντίων τὰς ψυχάς. Θεόπομπος δ' ἐν τεσσαρακοστῇ ἕκτῃ τῶν ἱστοριῶν 'Γέται (φησὶ) κιθάρας ἔχοντες καὶ e κιθαρίζοντες τὰς ἐπικηρυκείας ποιοῦνται.' ὅθεν ἔοικε καὶ Ὅμηρος διατηρῶν τὴν ἀρχαίαν τῶν Ἑλλήνων κατάστασιν λέγειν

φόρμιγγός θ', ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην·

ὡς καὶ τοῖς εὐωχουμένοις χρησίμης οὔσης τῆς τέχνης. ἦν δ', ὡς ἔοικε, τοῦτο νενομισμένον, πρῶτον μὲν ὅπως ἕκαστος τῶν εἰς μέθην καὶ πλήρωσιν ὡρμημένων ἰατρὸν λαμβάνῃ τῆς ὕβρεως καὶ τῆς ἀκοσμίας τὴν μουσικήν, εἶθ' ὅτι τὴν αὐθάδειαν πραΰνει. περιαιρουμένη γὰρ τὴν στυγνότητα ποιεῖ πραότητα καὶ χαρὰν ἐλευθέριον. ὅθεν καὶ Ὅμηρος εἰσήγαγε τοὺς θε- f οὺς χρωμένους ἐν τοῖς πρώτοις τῆς Ἰλιάδος τῇ μουσικῇ μετὰ τὴν περὶ τὸν Ἀχιλλέα φιλοτιμίαν. διετέλουν γὰρ ἀκροώμενοι

φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων,
Μουσάων θ', αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.

παύσασθαι γὰρ ἔδει τὰ νείκη καὶ τὴν στάσιν, καθάπερ λέγομεν. ἐοίκασιν οὖν οἱ πολλοὶ τὴν ἐπιστήμην ἀποδιδόναι ταῖς συνουσίαις ἐπανορθώσεως χάριν καὶ ὠφελείας. ἀλλὰ μὴν οἱ ἀρχαῖοι καὶ περιέλαβον ἔθεσι
628 καὶ νόμοις τοὺς τῶν θεῶν ὕμνους ᾄδειν ἅπαντας ἐν ταῖς ἑστιάσεσιν, ὅπως καὶ διὰ τούτων τηρῆται τὸ καλὸν καὶ σωφρονικὸν ἡμῶν. ἐναρμονίων γὰρ ὄντων τῶν ᾀσμάτων προσγενόμενος ὁ τῶν θεῶν λόγος ἀποσεμνύνει τὸν ἑκάστων τρόπον. Φιλόχορος δέ φησιν ὡς οἱ παλαιοὶ σπένδοντες οὐκ ἀεὶ διθυραμβοῦσιν, ἀλλ' ὅταν σπένδωσι, τὸν μὲν Διόνυσον ἐν οἴνῳ καὶ μέθῃ τὸν δ' Ἀπόλλωνα μεθ' ἡσυχίας καὶ τάξεως μέλποντες. Ἀρχίλοχος γοῦν φησίν

ὡς Διωνύσου ἄνακτος καλὸν ἐξάρξαι μέλος
b οἶδα διθύραμβον, οἴνῳ συγκεραυνωθεὶς φρένας.

καὶ Ἐπίχαρμος δ' ἐν Φιλοκτήτῃ ἔφη

οὐκ ἔστι διθύραμβος, ὅκχ' ὕδωρ πίῃς.

ὅτι μὲν οὖν οὐχ ἡδονῆς χάριν ἐπιπολαίου καὶ δημοτικῆς ἡ μουσικὴ προῆλθε κατ' ἀρχὰς εἰς τὰς ἑστιάσεις, ὥσπερ ἔνιοι νομίζουσι, φανερὸν ἐκ τῶν εἰρημένων. Λακεδαιμόνιοι δ', εἰ μὲν ἐμάνθανον τὴν μουσικήν, οὐδὲν λέγουσιν· ὅτι δὲ κρίνειν δύνανται καλῶς τὴν τέχνην ὁμολογεῖται παρ' αὐτῶν, καί φασι τρὶς ἤδη σεσωκέναι διαφθειρομένην αὐτήν.

25. καὶ πρὸς γυμνασίαν δὲ καὶ ὀξύτητα διανοίας
c συμβάλλεται ἡ μουσική. διὸ καὶ τῶν Ἑλλήνων ἕκαστοι καὶ τῶν βαρβάρων οἱ γινωσκόμενοι τυγχάνουσι χρώμενοι. οὐ κακῶς δὲ λέγουσιν οἱ περὶ Δάμωνα τὸν Ἀθηναῖον ὅτι καὶ τὰς ᾠδὰς καὶ τὰς ὀρχήσεις ἀνάγκη γίνεσθαι κινουμένης πως τῆς ψυχῆς· καὶ αἱ μὲν ἐλευ-

θέριοι καὶ καλαὶ ποιοῦσι τοιαύτας, αἱ δ' ἐναντίαι τὰς ἐναντίας. ὅθεν καὶ τὸ Κλεοσθένους τοῦ Σικυωνίων τυράννου χάριεν καὶ σημεῖον διανοίας πεπαιδευμένης. ἰδὼν γάρ, ὥς φασι, φορτικῶς ὀρχησάμενον ἕνα τῶν τῆς θυγατρὸς μνηστήρων, Ἱπποκλείδης δ' ἦν ὁ Ἀθη- d ναῖος, ἀπορχήσασθαι τὸν γάμον αὐτὸν ἔφησε, νομίζων, ὡς ἔοικε, καὶ τὴν ψυχὴν τἀνδρὸς εἶναι τοιαύτην. καὶ γὰρ ἐν ὀρχήσει καὶ πορείᾳ καλὸν μὲν εὐσχημοσύνη καὶ κόσμος, αἰσχρὸν δὲ ἀταξία καὶ τὸ φορτικόν. διὰ τοῦτο γὰρ καὶ ἐξ ἀρχῆς συνέταττον οἱ ποιηταὶ τοῖς ἐλευθέροις τὰς ὀρχήσεις, καὶ ἐχρῶντο τοῖς σχήμασι σημείοις μόνον τῶν ᾀδομένων, τηροῦντες ἀεὶ τὸ εὐγενὲς καὶ ἀνδρῶδες ἐπ' αὐτῶν, ὅθεν καὶ ὑπορχήματα τὰ τοιαῦτα προσηγόρευον. εἰ δέ τις ἀμέτρως διαθείη τὴν σχηματοποιίαν καὶ ταῖς ᾠδαῖς ἐπιτυγχάνων μηδὲν e λέγοι κατὰ τὴν ὄρχησιν, οὗτος δ' ἦν ἀδόκιμος. διὸ καὶ Ἀριστοφάνης ἢ Πλάτων ἐν ταῖς Σκευαῖς, ὡς Χαμαιλέων φησίν, εἴρηκεν οὕτως

ὥστ' εἴ τις ὀρχοῖτ' εὖ, θέαμ' ἦν· νῦν δὲ δρῶσιν οὐδέν,
ἀλλ' ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύονται.

ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς χοροῖς εὔσχημον τότε καὶ μεγαλοπρεπὲς καὶ ὡσανεὶ τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἀπομιμούμενον. ὅθεν καὶ Σωκράτης ἐν τοῖς ποιήμασι τοὺς κάλλιστα χορεύοντας ἀρίστους f φησὶν εἶναι τὰ πολέμια λέγων οὕτως

οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
ἐν πολέμῳ.

σχεδὸν γὰρ ὥσπερ ἐξοπλισία τις ἦν ἡ χορεία καὶ ἐπίδειξις οὐ μόνον τῆς λοιπῆς εὐταξίας ἀλλὰ καὶ τῆς τῶν σωμάτων ἐπιμελείας.

629 26. Ἀμφίων δὲ ὁ Θεσπιεὺς ἐν δευτέρῳ περὶ τοῦ ἐν Ἑλικῶνι μουσείου ἄγεσθαί φησιν ἐν Ἑλικῶνι παίδων ὀρχήσεις μετὰ σπουδῆς, παρατιθέμενος ἀρχαῖον ἐπίγραμμα τόδε

ἀμφότερ' ὠρχεύμαν τε καὶ ἐμμώσως ἐδίδασκον
ἄνδρας. ὁ δ' αὐλητὰς ἦν Ἄνακος Φιαλεύς·
εἰμὶ δὲ Βακχιάδας Σικυώνιος. ἦ ῥα θεοῖσιν
τοῖς Σικυῶνι καλὸν τοῦτ' ἀπέκειτο γέρας.

οὐ κακῶς δὲ καὶ Καφισίας ὁ αὐλητής, ἐπιβαλλομένου
b τινὸς τῶν μαθητῶν αὐλεῖν μέγα καὶ τοῦτο μελετῶντος, πατάξας εἶπεν οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἶναι ἀλλ' ἐν τῷ εὖ τὸ μέγα. ἔστι δὲ καὶ τὰ τῶν ἀρχαίων δημιουργῶν ἀγάλματα τῆς παλαιᾶς ὀρχήσεως λείψανα· διὸ καὶ συνέστη τὰ κατὰ τὴν χειρονομίαν ἐπιμελεστέρως διὰ ταύτην τὴν αἰτίαν. ἐζήτουν γὰρ κἀν ταύτῃ κινήσεις καλὰς καὶ ἐλευθερίους, ἐν τῷ εὖ τὸ μέγα παραλαμβάνοντες· καὶ τὰ σχήματα μετέφερον ἐντεῦθεν εἰς τοὺς χορούς, ἐκ δὲ τῶν χορῶν εἰς τὰς παλαίστρας. καὶ γὰρ ἐν τῇ μουσικῇ κἀν τῇ τῶν
c σωμάτων ἐπιμελείᾳ περιεποιοῦντο τὴν ἀνδρείαν, καὶ πρὸς τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἐγυμνάζοντο μετὰ τῆς ᾠδῆς· ὅθεν ἐκινήθησαν αἱ καλούμεναι πυρρίχαι καὶ πᾶς ὁ τοιοῦτος τρόπος τῆς ὀρχήσεως καὶ αἱ πολλαὶ παρονομασίαι αὐτῶν, ὡς παρὰ Κρησὶν ὀρσίτης καὶ ἐπικρήδιος. τὴν δ' ἀπόκινον καλουμένην ὄρχησιν, ἧς μνημονεύει Κρατῖνος ἐν Νεμέσει καὶ Κηφισόδωρος ἐν Ἀμαζόσιν Ἀριστοφάνης τ' ἐν Κενταύρῳ καὶ ἄλλοι πλείονες, ὕστερον μακτρισμὸν ὠνόμασαν· ἣν καὶ πολλαὶ γυναῖκες ὠρχοῦντο, ἃς καὶ μακτροκτυπίας ὀνομαζομένας οἶδα.

27. τὰ δὲ στασιμώτερα καὶ ποικιλώτερα καὶ τὴν ὄρχησιν ἁπλουστέραν ἔχοντα καλεῖται δάκτυλοι, ἰαμ-

βική, μολοσσική, ἐμμέλεια, κόρδαξ, σίκιννις περσική, φρύγιος νιβατισμός, θράκιος καλαβρισμός, τελεσιάς· μακεδονικὴ δ' ἐστὶν αὕτη ὄρχησις, ᾗ χρησάμενοι οἱ περὶ Πτολεμαῖον Ἀλέξανδρον τὸν Φιλίππου ἀδελφὸν ἀνεῖλον, ὡς ἱστορεῖ Μαρσύας ἐν τρίτῳ Μακεδονικῶν. μανιώδεις δ' εἰσὶν ὀρχήσεις κερνοφόρος καὶ μόγγας e καὶ θερμαστρίς. ἦν δὲ καὶ παρὰ τοῖς ἰδιώταις ἡ καλουμένη ἄνθεμα. ταύτην δὲ ὠρχοῦντο μετὰ λέξεως τοιαύτης μιμούμενοι καὶ λέγοντες

ποῦ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα, ποῦ μοι τὰ καλὰ σέλινα;
ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα, ταδὶ τὰ καλὰ σέλινα.

παρὰ δὲ Συρακοσίοις καὶ χιτωνέας Ἀρτέμιδος ὄρχησίς τις ἐστὶν ἴδιος καὶ αὔλησις. ἦν δέ τις καὶ ἰωνικὴ ὄρχησις παροίνιος. καὶ τὴν ἀγγελικὴν δὲ παρ' οἶνον ἠκρίβουν ὄρχησιν. καλεῖται δέ τις καὶ ἄλλη ὄρχησις κόσμου ἐκπύρωσις, ἧς μνημονεύει Μένιππος ὁ κυνικὸς ἐν τῷ Συμποσίῳ. καὶ γελοῖαι δ' εἰσὶν ὀρχήσεις f ἴγδις καὶ μακτρισμὸς ἀπόκινός τε καὶ σοβάς, ἔτι δὲ μορφασμὸς καὶ γλαὺξ καὶ λέων ἀλφίτων τε ἐκχύσεις καὶ χρεῶν ἀποκοπὴ καὶ στοιχεῖα καὶ πυρρίχη. μετ' αὐλῶν δὲ ὠρχοῦντο τὴν τοῦ κελευστοῦ καὶ τὴν καλουμένην πινακίδα. σχήματα δ' ἐστὶν ὀρχήσεως ξιφισμὸς καλαθισμὸς καλλαβίδες σκὼψ σκώπευμα. ἦν δὲ ὁ σκὼψ τῶν ἀποσκοπούντων τὸ σχῆμα, ἄκραν τὴν χεῖρα ὑπὲρ τοῦ μετώπου κεκυρτωκότων. μνημονεύει Αἰσχύλος ἐν Θεωροῖς

καὶ μὴν παλαιῶν τῶνδέ σοι σκωπευμάτων.

καλλαβίδων δ' Εὔπολις ἐν Κόλαξι 630

καλλαβίδας δὲ βαίνει,
σησαμίδας δὲ χέζει.

θερμαστρὶς ἑκατερίδες σκοπὸς χεὶρ καταπρηνὴς χεὶρ

σιμὴ διποδισμὸς ξύλου παράληψις ἐπαγκωνισμὸς καλαθίσκος στρόβιλος. καὶ τελεσιὰς δ' ἐστὶν ὄρχησις καλουμένη, στρατιωτικὴ δ' ἐστὶν αὕτη ἀπό τινος ἀνδρὸς Τελεσίου λαβοῦσα τοὔνομα μεθ' ὅπλων τὸ πρῶτον αὐτὴν ἐκείνου ὀρχησαμένου, ὥς φησιν Ἱππαγόρας ἐν τῷ πρώτῳ περὶ τῆς Καρχηδονίων πολιτείας.

b 28. καλεῖται δ' ἡ μὲν σατυρικὴ ὄρχησις, ὥς φησιν Ἀριστοκλῆς ἐν ὀγδόῳ τῶν περὶ χορῶν, σίκιννις καὶ οἱ σάτυροι σικιννισταί. τινὲς δέ φασι Σίκιννόν τινα βάρβαρον εὑρετὴν αὐτῆς γενέσθαι, ἄλλοι δὲ Κρῆτα λέγουσι τὸ γένος εἶναι Σίκιννον. ὀρχησταὶ δ' οἱ Κρῆτες, ὥς φησιν Ἀριστόξενος. Σκάμων δ' ἐν πρώτῳ περὶ εὑρημάτων σίκιννιν αὐτὴν εἰρῆσθαι ἀπὸ τοῦ σείεσθαι· καὶ πρῶτον ὀρχήσασθαι τὴν σίκιννιν Θέρσιππον. προτέρα δὲ εὕρηται ἡ περὶ τοὺς πόδας c κίνησις τῆς διὰ τῶν χειρῶν. οἱ γὰρ παλαιοὶ τοὺς πόδας μᾶλλον ἐγυμνάζοντο ἐν τοῖς ἀγῶσι καὶ τοῖς κυνηγεσίοις. οἱ δὲ Κρῆτες κυνηγετικοί, διὸ καὶ ποδώκεις. εἰσὶ δέ τινες οἳ καί φασι τὴν σίκιννιν ποιητικῶς ὠνομάσθαι ἀπὸ τῆς κινήσεως, ἣν καὶ οἱ σάτυροι ὀρχοῦνται ταχυτάτην οὖσαν. οὐ γὰρ ἔχει πάθος αὕτη ἡ ὄρχησις, διὸ οὐδὲ βραδύνει. συνέστηκε δὲ καὶ σατυρικὴ πᾶσα ποίησις τὸ παλαιὸν ἐκ χορῶν, ὡς καὶ ἡ τότε τραγῳδία· διόπερ οὐδὲ ὑποκριτὰς εἶχον. τρεῖς δ' εἰσὶ τῆς σκηνικῆς ποιήσεως ὀρχήσεις, τραγικὴ κωμικὴ d σατυρική. ὁμοίως δὲ καὶ τῆς λυρικῆς ποιήσεως τρεῖς, πυρρίχη γυμνοπαιδικὴ ὑπορχηματική. καὶ ἔστιν ὁμοία ἡ μὲν πυρρίχη τῇ σατυρικῇ· ἀμφότεραι γὰρ διὰ τάχους. πολεμικὴ δὲ δοκεῖ εἶναι ἡ πυρρίχη. ἔνοπλοι γὰρ αὐτὴν παῖδες ὀρχοῦνται· τάχους δὲ δεῖ τῷ πολέμῳ εἰς τὸ διώκειν καὶ εἰς τὸ ἡττωμένους φεύγειν,

μηδὲ μένειν μηδ᾽ αἰδεῖσθαι κακοὺς εἶναι. ἡ δὲ γυμνο-
παιδικὴ παρεμφερής ἐστι τῇ τραγικῇ ὀρχήσει, ἥτις e
ἐμμέλεια καλεῖται· ἐν ἑκατέρᾳ δὲ ὁρᾶται τὸ βαρὺ
καὶ σεμνόν. ἡ δ᾽ ὑπορχηματικὴ τῇ κωμικῇ οἰκει-
οῦται, ἥτις καλεῖται κόρδαξ· παιγνιώδεις δ᾽ εἰσὶν
ἀμφότεραι.

29. Ἀριστόξενος δέ φησι τὴν πυρρίχην ἀπὸ Πυρ-
ρίχου Λάκωνος τὸ γένος τὴν προσηγορίαν λαβεῖν·
λακωνικὸν δ᾽ εἶναι μέχρι καὶ νῦν ὄνομα τὸν Πύρρι-
χον. ἐμφανίζει δ᾽ ἡ ὄρχησις πολεμικὴ οὖσα ὡς Λακε-
δαιμονίου τὸ εὕρημα. πολεμικοὶ δ᾽ εἰσὶν οἱ Λάκωνες, f
ὧν καὶ οἱ υἱοὶ τὰ ἐμβατήρια μέλη ἀναλαμβάνουσιν,
ἅπερ καὶ ἐνόπλια καλεῖται. καὶ αὐτοὶ δ᾽ οἱ Λάκωνες
ἐν τοῖς πολέμοις τὰ Τυρταίου ποιήματα ἀπομνημο-
νεύοντες ἔρρυθμον κίνησιν ποιοῦνται. Φιλόχορος δέ
φησι κρατήσαντας Λακεδαιμονίους Μεσσηνίων διὰ
τὴν Τυρταίου στρατηγίαν ἐν ταῖς στρατείαις ἔθος
ποιήσασθαι, ἂν δειπνοποιήσωνται καὶ παιωνίσωσιν,
ᾄδειν καθ᾽ ἕνα Τυρταίου· κρίνειν δὲ τὸν πολέμαρχον
καὶ ἆθλον διδόναι τῷ νικῶντι κρέας. ἡ δὲ πυρρίχη 631
παρὰ μὲν τοῖς ἄλλοις Ἕλλησιν οὐκ ἔτι παραμένει· καὶ
ἐκλιπούσης δὲ αὐτῆς συμβέβηκε τοὺς πολέμους κατα-
λυθῆναι. παρὰ μόνοις δὲ Λακεδαιμονίοις διαμένει
προγύμνασμα οὖσα τοῦ πολέμου· ἐκμανθάνουσί τε
πάντες ἐν τῇ Σπάρτῃ ἀπὸ πέντε ἐτῶν πυρριχίζειν. ἡ
δὲ καθ᾽ ἡμᾶς πυρρίχη διονυσιακή τις εἶναι δοκεῖ, ἐπι-
εικεστέρα οὖσα τῆς ἀρχαίας. ἔχουσι γὰρ οἱ ὀρχούμενοι
θύρσους ἀντὶ δοράτων, προΐενται δ᾽ ἐπ᾽ ἀλλήλους καὶ
νάρθηκας καὶ λαμπάδας φέρουσιν· ὀρχοῦνταί τε τὰ
περὶ τὸν Διόνυσον καὶ τὰ περὶ τοὺς Ἰνδούς, ἔτι δὲ τὰ b
περὶ τὸν Πενθέα. τακτέον δ᾽ ἐπὶ τῆς πυρρίχης τὰ κάλ-
λιστα μέλη καὶ τοὺς ὀρθίους ῥυθμούς.

30. ἔοικε δὲ ἡ γυμνοπαιδικὴ τῇ καλουμένῃ ἀνα-
πάλῃ παρὰ τοῖς παλαιοῖς. γυμνοὶ γὰρ ὀρχοῦνται οἱ
παῖδες πάντες, ἐρρύθμους φοράς τινας ἀποτέμνοντες
καὶ σχήματά τινα τῶν χειρῶν κατὰ τὸ ἁπαλόν· ὥστ'
ἐμφαίνειν θεώρημά τι τῆς παλαίστρας καὶ τοῦ παγ-
κρατίου κινοῦντες ἐρρύθμως τοὺς πόδας. τρόποι δ'
αὐτῆς οἵ τε ὠσχοφορικοὶ καὶ οἱ βακχικοί, ὥστε καὶ
τὴν ὄρχησιν ταύτην εἰς τὸν Διόνυσον ἀναφέρεσθαι.
c Ἀριστόξενος δέ φησιν ὡς οἱ παλαιοὶ γυμναζόμενοι
πρῶτον ἐν τῇ γυμνοπαιδικῇ εἰς τὴν πυρρίχην ἐχώ-
ρουν πρὸ τοῦ εἰσιέναι εἰς τὸ θέατρον. καλεῖται δ' ἡ
πυρρίχη καὶ χειρονομία. ἡ δ' ὑπορχηματική ἐστιν ἐν
ᾗ ᾄδων ὁ χορὸς ὀρχεῖται. φησὶ γοῦν ὁ Βακχυλίδης

οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς.

καὶ Πίνδαρος δέ φησι

λάκαινα μὲν παρθένων ἀγέλα.

ὀρχοῦνται δὲ ταύτην παρὰ τῷ Πινδάρῳ οἱ Λάκωνες·
καὶ ἔστιν ὑπορχηματικὴ ὄρχησις ἀνδρῶν καὶ γυναι-
d κῶν. βέλτιστοι δ' εἰσὶ τῶν τρόπων οἵτινες καὶ ὀρ-
χοῦνται. εἰσὶ δὲ οἵδε, προσοδιακοί, ἀποστολικοί, οὗ-
τοι δὲ καὶ παρθένιοι καλοῦνται, καὶ οἱ τούτοις ὅμοιοι.
τὸν γὰρ ὕμνον οἱ μὲν ὠρχοῦντο, οἱ δὲ οὐκ ὠρχοῦντο·
ἢ τοὺς εἰς Ἀφροδίτην καὶ Διόνυσον, καὶ τὸν παιᾶνα
δέ, ὁτὲ μὲν ὁτὲ δὲ οὔ. εἰσὶ δὲ καὶ παρὰ τοῖς βαρβά-
ροις ὥσπερ καὶ παρὰ τοῖς Ἕλλησι σπουδαῖαι καὶ φαῦ-
λαι ὀρχήσεις. ὁ μὲν κόρδαξ παρ' Ἕλλησι φορτικὸς ἡ
δ' ἐμμέλεια σπουδαία, καθάπερ καὶ ἡ παρ' Ἀρκάσι
κίδαρις παρὰ Σικυωνίοις τε ὁ ἀλητήρ. οὕτως δὲ καὶ
ἐν Ἰθάκῃ καλεῖται ἀλητήρ, ὡς Ἀριστόξενος ἱστορεῖ
e ἐν πρώτῳ συγκρίσεων. καὶ περὶ μὲν ὀρχήσεως το-
σαῦτά μοι ἐπὶ τοῦ παρόντος λέλεκται.

31. τὸ δὲ παλαιὸν ἐτηρεῖτο περὶ τὴν μουσικὴν τὸ

καλόν, καὶ πάντ᾽ εἶχε κατὰ τὴν τέχνην τὸν οἰκεῖον αὐτοῖς κόσμον. διόπερ ἦσαν ἴδιοι καθ᾽ ἑκάστην ἁρμονίαν αὐλοὶ καὶ ἑκάστοις αὐλητῶν ὑπῆρχον αὐλοὶ ἑκάστῃ ἁρμονίᾳ πρόσφοροι ἐν τοῖς ἀγῶσι, Πρόνομος δ᾽ ὁ Θηβαῖος πρῶτος ηὔλησεν ἀπὸ τῶν αὐτῶν αὐλῶν πάσας ἁρμονίας. νῦν δὲ εἰκῇ καὶ ἀλόγως ἅπτονται τῆς μουσικῆς. καὶ πάλαι μὲν τὸ παρὰ τοῖς ὄχλοις εὐδοκιμεῖν σημεῖον ἦν κακοτεχνίας. ὅθεν καὶ Ἀσω- f
πόδωρος ὁ Φλιάσιος κροταλιζομένου ποτέ τινος τῶν αὐλητῶν διατρίβων αὐτὸς ἔτι ἐν τῷ ὑποσκηνίῳ 'τί τοῦτ᾽; (εἶπεν) δῆλον ὅτι μέγα κακὸν γέγονεν.' ὡς οὐκ ἂν ἄλλως ἐν τοῖς πολλοῖς εὐδοκιμήσαντος. οἶδα δέ τινας τοῦθ᾽ ἱστορήσαντας ὡς Ἀντιγενείδου εἰπόντος. καὶ οἱ καθ᾽ ἡμᾶς δὲ τέλος ποιοῦνται τῆς τέχνης τὴν παρὰ τοῖς θεάτροις εὐημερίαν. διόπερ Ἀριστόξενος ἐν τοῖς συμμίκτοις συμποτικοῖς 'ὅμοιον (φησὶ) ποι- 632
οῦμεν Ποσειδωνιάταις τοῖς ἐν τῷ τυρσηνικῷ κόλπῳ κατοικοῦσιν, οἷς συνέβη τὰ μὲν ἐξ ἀρχῆς Ἕλλησιν οὖσιν ἐκβεβαρβαρῶσθαι Τυρρηνοῖς ἢ Ῥωμαίοις γεγονόσι, καὶ τήν τε φωνὴν μεταβεβληκέναι τά τε λοιπὰ τῶν ἐπιτηδευμάτων, ἄγειν τε μίαν τινὰ αὐτοὺς τῶν ἑορτῶν τῶν ἑλληνικῶν ἔτι καὶ νῦν, ἐν ᾗ συνιόντες ἀναμιμνήσκονται τῶν ἀρχαίων ἐκείνων ὀνομάτων τε καὶ νομίμων, καὶ ἀπολοφυράμενοι πρὸς ἀλλήλους b
καὶ ἀποδακρύσαντες ἀπέρχονται. οὕτω δὴ οὖν (φησὶ) καὶ ἡμεῖς, ἐπειδὴ καὶ τὰ θέατρα ἐκβεβαρβάρωται καὶ εἰς μεγάλην διαφθορὰν προελήλυθεν ἡ πάνδημος αὕτη μουσική, καθ᾽ αὑτοὺς γενόμενοι ὀλίγοι ἀναμιμνησκόμεθα οἵα ἦν ἡ μουσική.' ταῦτα μὲν ὁ Ἀριστόξενος.

32. κἀμοὶ δὲ διὰ τοῦτο φαίνεται φιλοσοφητέον εἶναι περὶ μουσικῆς. καὶ γὰρ Πυθαγόρας ὁ Σάμιος,

τηλικαύτην δόξαν ἔχων ἐπὶ φιλοσοφίᾳ, καταφανής c ἐστιν ἐκ πολλῶν οὐ παρέργως ἁψάμενος μουσικῆς· ὅς γε καὶ τὴν τοῦ παντὸς οὐσίαν διὰ μουσικῆς ἀποφαίνει συγκειμένην. τὸ δὲ ὅλον ἔοικεν ἡ παλαιὰ τῶν Ἑλλήνων σοφία τῇ μουσικῇ μάλιστα εἶναι δεδομένη. καὶ διὰ τοῦτο τῶν μὲν θεῶν Ἀπόλλωνα, τῶν δὲ ἡμιθέων Ὀρφέα μουσικώτατον καὶ σοφώτατον ἔκρινον, καὶ πάντας τοὺς χρωμένους τῇ τέχνῃ ταύτῃ σοφιστὰς ἀπεκάλουν, ὥσπερ καὶ Αἰσχύλος ἐποίησεν

εἴτ᾽ οὖν σοφιστὴς κάρτα παραπαίων χέλυν.

ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο οἱ ἀρd χαῖοι δῆλον καὶ ἐξ Ὁμήρου· ὃς διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφροντιστὶ τοὺς πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαρούς, ἔτι δὲ μυούρους. Ξενοφάνης δὲ καὶ Σόλων καὶ Θέογνις καὶ Φωκυλίδης, ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν, ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων, καὶ σκοποῦσιν ὅπως αὐτῶν μηδεὶς ἀκέφαλος ἔσται μήτε λαγαρὸς e μήτε μύουρος. ἀκέφαλοι δέ εἰσιν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔχοντες

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.
ἐπίτονος τετάνυστο βοὸς ἶφι κταμένοιο.

λαγαροὶ δὲ οἱ ἐν μέσῳ. οἷον

αἶψα δ᾽ ἄρ᾽ Αἰνείαν φίλον υἱὸν Ἀγχίσαο.
τῶν αὖθ᾽ ἡγείσθην Ἀσκληπιοῦ δύο παῖδες.

μύουροι δέ εἰσιν οἱ ἐπὶ τῆς ἐκβολῆς. οἷον

f Τρῶες δ᾽ ἐρρίγησαν, ὅπως ἴδον αἴολον ὄφιν.
καλὴ Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα.
τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ καὶ ἤϊα.

33. διετήρησαν δὲ μάλιστα τῶν Ἑλλήνων Λακε-

δαιμόνιοι τὴν μουσικὴν πλείστῃ αὐτῇ χρώμενοι· καὶ
συχνοὶ παρ' αὐτοῖς ἐγένοντο μελῶν ποιηταί. τηροῦσι
δὲ καὶ νῦν τὰς ἀρχαίας ᾠδὰς ἐπιμελῶς, πολυμαθεῖς
τε εἰς ταύτας εἰσὶ καὶ ἀκριβεῖς. ὅθεν καὶ Πρατίνας 633
φησί

λακωνοτέττιξ εὔτυκος ἐς χορόν.

διὸ καὶ οἱ ποιηταὶ διετέλουν προσαγορεύοντες οὕτως
τὰς ᾠδάς 'γλυκυτάτων πρύτανιν ὕμνων.' καί 'μέλεα
μελιπτέρωτα Μοισᾶν.' ἀπὸ γὰρ τῆς τοῦ βίου σω-
φροσύνης καὶ αὐστηρίας μετέβαινον ἀσμένως ἐπὶ τὴν
μουσικήν, ἐχούσης τὸ κηλητικὸν τῆς ἐπιστήμης.
εἰκότως οὖν ἐγίνετο χαίρειν τοὺς ἀκροωμένους· ἐκά-
λουν δὲ καὶ χορηγούς, ὥς φησιν ὁ Βυζάντιος Δημή-
τριος ἐν τετάρτῳ περὶ ποιημάτων, οὐχ ὥσπερ νῦν b
τοὺς μισθουμένους τοὺς χορούς, ἀλλὰ τοὺς καθηγου-
μένους τοῦ χοροῦ, καθάπερ αὐτὸ τοὔνομα σημαίνει·
καὶ τὸ χρηστομουσεῖν καὶ μὴ παραβαίνειν τοὺς ἀρχαί-
ους τῆς μουσικῆς νόμους. συνέβαινε δὲ τὸ μὲν πα-
λαιὸν φιλομουσεῖν τοὺς Ἕλληνας· μετὰ δὲ ταῦτα
γενομένης ἀταξίας, καταγηρασάντων σχεδὸν ἁπάντων
τῶν ἀρχαίων νομίμων, ἥ τε προαίρεσις αὕτη κατελύθη
καὶ τρόποι μουσικῆς φαῦλοι κατεδείχθησαν, οἷς ἕκα-
στος τῶν χρωμένων ἀντὶ μὲν πραότητος περιεποιεῖτο
μαλακίαν, ἀντὶ δὲ σωφροσύνης ἀκολασίαν καὶ ἄνεσιν.
ἔσται δ' ἴσως τοῦτο μᾶλλον καὶ ἐπὶ πλέον προαχθήσε-
ται, ἐὰν μή τις ἀγάγῃ πάλιν εἰς τὸ συμφανὲς τὴν
πάτριον μουσικήν. τὸ παλαιὸν γὰρ καὶ τῶν ἡρώων
τὰς πράξεις καὶ τῶν θεῶν τοὺς ὕμνους δι' ᾠδῆς
ἐποιοῦντο. Ὅμηρος γοῦν φησὶν ἐπ' Ἀχιλλέως 'ἄειδε
δ' ἄρα κλέα ἀνδρῶν ἡρώων.' καὶ τὸν Φήμιον δέ
φησιν ὅτι

πολλὰ βροτῶν θελκτήρια οἶδεν,

ἔργ᾽ ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί.

d τὸ δὲ ἔθος τοῦτο καὶ παρὰ τοῖς βαρβάροις ἐσώζετο, ὥς φησι Δείνων ἐν τοῖς Περσικοῖς. τὴν γοῦν Κύρου τοῦ πρώτου ἀνδρείαν καὶ τὸν μέλλοντα πόλεμον ἔσεσθαι πρὸς Ἀστυάγην προείδοντο οἱ ᾠδοί. ‘ὅτε γὰρ (φησὶν) ἠγήσατο τὴν εἰς Πέρσας ἀποδημίαν ὁ Κῦρος· ἐγεγόνει δ᾽ αὐτοῦ πρότερον ἐπὶ τῶν ῥαβδοφόρων, εἶθ᾽ ὕστερον ἐπὶ τῶν ὁπλοφόρων καὶ ἀπῆλθεν· εὐωχουμένου οὖν τοῦ Ἀστυάγους μετὰ τῶν φίλων τότε, Ἀγγάρης ὄνομα, οὗτος δ᾽ ἦν τῶν ᾠδῶν ὁ ἐνδοξότατος, ᾖδεν εἰσκληθεὶς τά τε ἄλλα τῶν εἰθι-
e σμένων καὶ τὸ ἔσχατον εἶπεν ὡς ἀφεῖται εἰς τὸ ἕλος θηρίον μέγα, θρασύτερον ὑὸς ἀγρίου· ὃ ἂν κυριεύσῃ τῶν καθ᾽ αὑτὸ τόπων, πολλοῖς μετ᾽ ὀλίγων ῥᾳδίως μαχεῖται. ἐρομένου δὲ τοῦ Ἀστυάγους, ποῖον θηρίον; ἔφη Κῦρον τὸν Πέρσην. νομίσας οὖν ὀρθῶς αὐτὸν ὑποπτευκέναι καὶ μεταπεμπόμενος οὐδὲν ὤνησεν.’

34. ἐγὼ δὲ ἔχων ἔτι πολλὰ λέγειν περὶ μουσικῆς, αὐλῶν ἀκούων βόμβου, καταπαύσω τὸ πολυλογεῖν, τὰ ἐκ Φιλαύλου Φιλεταίρου ἐπειπών

ὦ Ζεῦ, καλόν γ᾽ ἔστ᾽ ἀποθανεῖν αὐλούμενον.
f τούτοις ἐν ᾅδου γὰρ μόνοις ἐξουσία
ἀφροδισιάζειν ἐστίν. οἱ δὲ τοὺς τρόπους
ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ
εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον.

μετὰ δὲ ταῦτα ζητήσεως γενομένης περὶ σαμβύκης, ἔφη ὁ Μασούριος ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην, διειλέχθαι τε περὶ αὐτοῦ Εὐφορίωνα τὸν ἐποποιὸν ἐν τῷ περὶ ἰσθμίων, χρῆσθαι φήσας αὐτῷ Πάρθους καὶ Τρωγλοδύτας τετραχόρδῳ
634 ὄντι· ἱστορεῖν δὲ τοῦτο Πυθαγόραν ἐν τῷ περὶ τῆς ἐρυθρᾶς θαλάσσης. καλεῖται δέ τι καὶ τῶν πολιορ-

κητικῶν ὀργάνων σαμβύκη, οὗ τό τε σχῆμα καὶ τὴν κατασκευὴν ἀποδείκνυσι Βίτων ἐν τῷ πρὸς Ἄτταλον περὶ ὀργάνων. καὶ Ἀνδρέας ὁ Πανορμίτης ἐν τῷ τριακοστῷ τρίτῳ τῶν Σικελικῶν τῶν κατὰ πόλιν, ὡς ἀπὸ δύο ὄνων προσάγοιτο τοῖς τῶν ἐναντίων τείχεσι· καλεῖσθαί τε σαμβύκην, ἐπειδή, ὅταν ἐξαρθῇ, γίνεται σχῆμα νεὼς καὶ κλίμακος ἑνοποιούμενον, ὅμοιον δέ τί ἐστι καὶ τὸ τῆς σαμβύκης. Μόσχος δ' ἐν πρώτῳ b Μηχανικῶν ῥωμαϊκὸν εἶναι λέγει τὸ μηχάνημα καὶ Ἡρακλείδην τὸν Ταραντῖνον εὑρεῖν αὐτοῦ τὸ εἶδος. Πολύβιος δ' ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν ‛Μάρκελλος (φησὶ) δυσχρηστούμενος ἐν τῇ Συρακουσῶν πολιορκίᾳ ὑπὸ τῶν Ἀρχιμήδους κατασκευασμάτων ἔλεγε ταῖς μὲν ναυσὶν αὐτοῦ κυαθίζειν ἐκ θαλάσσης Ἀρχιμήδην, τὰς δὲ σαμβύκας ῥαπιζομένας ὥσπερ ἐκ πότου μετ' αἰσχύνης ἐκπεπτωκέναι.'

35. εἰπόντος δ' ἐπὶ τούτοις Αἰμιλιανοῦ, ἀλλὰ μήν, ὦ ἑταῖρε Μασούριε, πολλάκις καὶ αὐτὸς ἐν ἐν- c νοίᾳ γίνομαι, μουσικῆς ὢν ἐραστής, περὶ τῆς μαγάδιδος καλουμένης, πότερον αὐλῶν εἶδος ἢ κιθάρας ἐστίν. ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που

ψάλλω δ' εἴκοσι
χορδαῖσιν μάγαδιν ἔχων,
ὦ Λεύκασπι· σὺ δ' ἡβᾷς.

Ἴων δ' ὁ Χῖος ἐν Ὀμφάλῃ ὡς περὶ αὐλῶν λέγει διὰ τούτων

λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς.

ὅπερ ἐξηγούμενος ἰαμβεῖον Ἀρίσταρχος ὁ γραμματικός, ὃν μάντιν ἐκάλει Παναίτιος ὁ Ῥόδιος φιλόσοφος, διὰ τὸ ῥᾳδίως καταμαντεύεσθαι τῆς τῶν ποιημάτων δια- d νοίας, γένος αὐλοῦ φησὶν εἶναι τὸν μάγαδιν, οὔτ' Ἀριστοξένου τοῦτ' εἰπόντος ἐν τοῖς περὶ αὐλητῶν ἢ

ἐν τοῖς περὶ αὐλῶν καὶ ὀργάνων, ἀλλὰ μὴν οὐδ' Ἀρχεστράτου· πεποίηται γὰρ καὶ τούτῳ δύο βιβλία περὶ αὐλητῶν. οὐκ εἶπε δὲ τοῦτο οὐδὲ Πύρρανδρος ἐν τῷ περὶ αὐλητῶν, οὐδὲ Φίλλις ὁ Δήλιος· ξυνέγραψε γὰρ καὶ οὗτος περὶ αὐλητῶν καὶ Εὐφράνωρ. Τρύφων δ' ἐν δευτέρῳ περὶ ὀνομασιῶν λέγει οὕτως 'ὁ δὲ μάγαδις καλούμενος αὐλός.' καὶ πάλιν 'μάγαδις ἐν
e ταὐτῷ ὀξὺν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται, ὡς Ἀναξανδρίδης ἐν Ὁπλομάχῳ φησί

μάγαδις λαλήσω μικρὸν ἅμα σοι καὶ μέγα.'

τὴν ἀπορίαν οὖν μοι ταύτην οὐδεὶς ἄλλος δυνήσεται ἀπολύσασθαι, καλὲ Μασούριε, ἢ σύ.

36. καὶ ὃς ἔφη, Δίδυμος ὁ γραμματικὸς ἐν ταῖς πρὸς Ἴωνα ἀντεξηγήσεσιν, ἑταῖρε Αἰμιλιανέ, μάγαδιν αὐλὸν ἀκούει τὸν κιθαριστήριον· οὗ μνημονεύειν Ἀριστόξενον ἐν πρώτῳ περὶ αὐλῶν τρήσεως, λέγοντα
f πέντε γένη εἶναι αὐλῶν, παρθενίους παιδικοὺς κιθαριστηρίους τελείους ὑπερτελείους. ἐλλείπειν οὖν δεῖ παρὰ τῷ Ἴωνι τὸν τέ σύνδεσμον, ἵν' ᾖ μάγαδις αὐλὸς ὁ προσαυλούμενος τῇ μαγάδι. ἡ γὰρ μάγαδις ὄργανόν ἐστι ψαλτικόν, ὡς Ἀνακρέων φησί, Λυδῶν τε εὕρημα. διὸ καὶ τὰς λυδὰς ψαλτρίας φησὶν εἶναι ὁ Ἴων ἐν τῇ Ὀμφάλῃ διὰ τούτων

ἀλλ' εἶα λυδαὶ ψάλτριαι παλαιθετῶν
ὕμνων ἀοιδοὶ τὸν ξένον κοιμήσατε.

635 Θεόφιλος δ' ὁ κωμῳδιοποιὸς ἐν Νεοπτολέμῳ καὶ τὸ τῇ μαγάδι διαψάλλειν μαγαδίζειν λέγει ἐν τούτοις

πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα
ἔστι μαγαδίζειν ἐπὶ τροχοῦ καθημένους·
οὐδεὶς γὰρ ἡμῶν ταυτὸν ᾄσεται μέλος.

Εὐφορίων δ' ἐν τῷ περὶ Ἰσθμίων παλαιὸν μέν φησι τὸ ὄργανον εἶναι τὴν μάγαδιν, μετασκευασθῆναι δ'

ὀψέ ποτε καὶ σαμβύκην μετονομασθῆναι. πλεῖστον
δ' εἶναι τοῦτο τὸ ὄργανον ἐν Μυτιλήνῃ, ὡς καὶ μίαν
τῶν Μουσῶν ἔχουσαν αὐτὸ ὑπὸ Λεσβοθέμιδος ποιη- b
θῆναι ἀρχαίου ἀγαλματοποιοῦ. Μέναιχμος δ' ἐν τοῖς
περὶ τεχνιτῶν τὴν πηκτίδα, ἣν τὴν αὐτὴν εἶναι τῇ
μαγάδι, Σαπφώ φησιν εὑρεῖν. Ἀριστόξενος δὲ τὴν
μάγαδιν καὶ τὴν πηκτίδα χωρὶς πλήκτρου διὰ ψαλμοῦ
παρέχεσθαι τὴν χρείαν. διόπερ καὶ Πίνδαρον εἰρη-
κέναι ἐν τῷ πρὸς Ἱέρωνα σκολίῳ τὴν μάγαδιν ὀνο-
μάσαντα ψαλμὸν ἀντίφθογγον, διὰ τὸ δύο γενῶν
ἅμα καὶ διὰ πασῶν ἔχειν τὴν συνῳδίαν ἀνδρῶν τε
καὶ παίδων. καὶ Φρύνιχος δ' ἐν Φοινίσσαις εἴρηκε c

ψαλμοῖσιν ἀντίσπαστ' ἀείδοντες μέλη.

καὶ Σοφοκλῆς ἐν Μυσοῖς

πολὺς δὲ φρὺξ τρίγωνος ἀντίσπαστά τε
λυδῆς ἐφύμνει πηκτίδος συγχορδία.

37. διαποροῦσι δὲ ἔνιοι ὅπως τῆς μαγάδιδος οὐκ
οὔσης κατὰ Ἀνακρέοντα, ὀψὲ γάρ ποτε τὰ πολύχορδα
ὀφθῆναι, μνημονεύων αὐτῆς ὁ Ἀνακρέων λέγει

ψάλλω δ' εἴκοσι
χορδαῖσιν μάγαδιν ἔχων,
ὦ Λεύκασπι.

καὶ ὁ μὲν Ποσειδώνιός φησι τριῶν μελῳδιῶν αὐτὸν
μνημονεύειν, φρυγίου τε καὶ δωρίου καὶ λυδίου· d
ταύταις γὰρ μόναις τὸν Ἀνακρέοντα κεχρῆσθαι· ὧν
ἑπτὰ χορδαῖς ἑκάστης περαινομένης εἰκότως φάναι
ψάλλειν αὐτὸν εἴκοσι χορδαῖς, τῷ ἀρτίῳ χρησάμενον
ἀριθμῷ τὴν μίαν ἀφελόντα. ἀγνοεῖ δὲ ὁ Ποσειδώ-
νιος ὅτι ἀρχαῖόν ἐστιν ὄργανον ἡ μάγαδις, σαφῶς
Πινδάρου λέγοντος τὸν Τέρπανδρον ἀντίφθογγον
εὑρεῖν τῇ παρὰ Λυδοῖς πηκτίδι τὸν βάρβιτον

τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρε

πρῶτος ἐν δείπνοισι Λυδῶν
e ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος.

πηκτὶς δὲ καὶ μάγαδις ταὐτόν, καθά φησιν ὁ Ἀρι-
στόξενος καὶ Μέναιχμος ὁ Σικυώνιος ἐν τοῖς περὶ
τεχνιτῶν. καὶ τὴν Σαπφώ δέ φησιν οὗτος, ἥτις ἐστὶν
Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῇ πη-
κτίδι. ὅτι δὲ καὶ Τέρπανδρος ἀρχαιότερος Ἀνα-
κρέοντος δῆλον ἐκ τούτων· τὰ κάρνεια πρῶτος πάν-
των Τέρπανδρος νικᾷ, ὡς Ἑλλάνικος ἱστορεῖ ἔν τε
τοῖς ἐμμέτροις καρνεονίκαις κἀν τοῖς καταλογάδην.
ἐγένετο δὲ ἡ θέσις τῶν καρνείων κατὰ τὴν ἕκτην καὶ
f εἰκοστὴν ὀλυμπιάδα, ὡς Σωσίβιός φησιν ἐν τῷ περὶ
χρόνων. Ἱερώνυμος δ' ἐν τῷ περὶ κιθαρῳδῶν, ὅπερ
ἐστὶ πέμπτον περὶ ποιητῶν, κατὰ Λυκοῦργον τὸν
νομοθέτην τὸν Τέρπανδρόν φησι γενέσθαι, ὃς ὑπὸ
πάντων συμφώνως ἱστορεῖται μετὰ τοῦ Ἰφίτου τοῦ
Ἠλείου τὴν πρώτην ἀριθμηθεῖσαν τῶν ὀλυμπίων
θέσιν διαθεῖναι. Εὐφορίων τε ἐν τῷ περὶ Ἰσθμίων
τὰ πολύχορδά φησι τῶν ὀργάνων ὀνόμασι μόνον
παρηλλάχθαι· παμπάλαιον δ' αὐτῶν εἶναι τὴν
χρῆσιν.

636 38. Διογένης δὲ ὁ τραγικὸς διαφέρειν πηκτίδα μαγάδιδος λέγων οὕτως ἐν τῇ Σεμέλῃ

καίτοι κλύω μὲν Ἀσιάδας μιτρηφόρους
κυβέλας γυναῖκας, παῖδας ὀλβίων Φρυγῶν,
τυπάνοισι καὶ ῥόμβοισι καὶ χαλκοκτύπων
βόμβοις βρεμούσας ἀντίχερσι κυμβάλων
σοφὴν θεῶν ὑμνῳδὸν ἰατρόν θ' ἅμα.
κλύω δὲ Λυδὰς βακχίας τε παρθένους
ποταμῷ παροίκους Ἅλυϊ τμωλίαν θεὸν
δαφνόσκιον κατ' ἄλσος Ἄρτεμιν σέβειν

ψαλμοῖς τριγώνων πηκτίδων ἀντιζύγοις b
ὁλκοῖς κρεκούσας μάγαδιν, ἔνθα περσικῷ
νόμῳ ξενωθεὶς αὐλὸς ὁμονοεῖ χοροῖς.

καὶ Φίλλις δ' ὁ Δήλιος ἐν δευτέρῳ περὶ μουσικῆς διαφέρειν φησὶ πηκτίδα μαγάδιδος λέγων οὕτως ʽφοίνικες πηκτίδες μαγάδιδες σαμβῦκαι ἰαμβῦκαι τρίγωνα κλεψίαμβοι σκινδαψοὶ ἐννεάχορδα. ἐν οἷς γὰρ (φησὶ) τοὺς ἰάμβους ᾖδον ἰαμβύκας ἐκάλουν, ἐν οἷς δὲ παρελογίζοντο τὰ ἐν τοῖς μέτροις κλεψιάμβους, c
μαγάδιδας δὲ τὰ διὰ πασῶν καὶ πρὸς ἴσα τὰ μέρη τῶν ᾀδόντων ἡρμοσμένα. καὶ ἄλλα δ' ἦν παρὰ ταῦτα· καὶ γὰρ βάρβιτος ἢ βάρμος· καὶ ἄλλα πλείονα, τὰ μὲν ἔγχορδα τὰ δὲ ἔνηχα, κατεσκεύαζον.ʼ

39. ἦν γὰρ δή τινα καὶ χωρὶς τῶν ἐμφυσωμένων καὶ χορδαῖς διειλημμένων ἕτερα ψόφου μόνον παρασκευαστικά, καθάπερ τὰ κρέμβαλα. περὶ ὧν φησὶ Δικαίαρχος ἐν τοῖς περὶ τοῦ τῆς Ἑλλάδος βίου, ἐπιχωριάσαι φάσκων ποτὲ καθ' ὑπερβολὴν εἰς τὸ προσορχεῖσθαί τε καὶ προσᾴδειν ταῖς γυναιξὶν ὄργανά d
τινα ποιά, ὧν ὅτε τις ἅπτοιτο τοῖς δακτύλοις, ποιεῖν λιγυρὸν ψόφον· δηλοῦσθαι δ' ἐν τῷ τῆς Ἀρτέμιδος ᾄσματι, οὗ ἐστιν ἀρχή

Ἄρτεμι σοί με τι φρὴν ἐφίμερον
ὕμνον υεναι τε ὅθεν . . .
ἃ δέ τις ἄλλα χρυσοφανία
κρέμβαλα χαλκοπάρᾳα χερσίν.

Ἕρμιππος δ' ἐν Θεοῖς τὸ τούτοις κρούειν κρεμβαλίζειν εἴρηκεν ἐν τούτοις

λεπάδας δὲ πετρῶν ἀποκόπτοντες κρεμβαλιάζουσι.

Δίδυμος δέ φησιν εἰωθέναι τινὰς ἀντὶ τῆς λύρας κογχύλια καὶ ὄστρακα συγκρούοντας ἔρρυθμον ἦχόν e

τινα ἀποτελεῖν τοῖς ὀρχουμένοις, καθάπερ καὶ Ἀριστοφάνη ἐν Βατράχοις φάναι.

40. Ἀρτέμων δ' ἐν τῷ πρώτῳ περὶ διονυσιακοῦ συστήματος Τιμόθεόν φησι τὸν Μιλήσιον παρὰ τοῖς πολλοῖς δόξαι πολυχορδοτέρῳ συστήματι χρήσασθαι τῇ μαγάδι· διὸ καὶ παρὰ τοῖς Λάκωσιν εὐθυνόμενον, ὡς παραφθείροι τὴν ἀρχαίαν μουσικήν, καὶ μέλλοντός τινος ἐκτέμνειν αὐτοῦ τὰς περιττὰς τῶν χορδῶν,
f δεῖξαι παρ' αὐτοῖς ὑπάρχοντα Ἀπολλωνίσκον πρὸς τὴν αὐτοῦ σύνταξιν ἰσόχορδον λύραν ἔχοντα, καὶ ἀφεθῆναι. Δοῦρις δ' ἐν τῷ περὶ τραγῳδίας ὠνομάσθαι φησὶ τὴν μάγαδιν ἀπὸ Μάγδιος Θρᾳκὸς γένος. Ἀπολλόδωρος δ' ἐν τῇ πρὸς τὴν Ἀριστοκλέους ἐπιστολὴν ἀντιγραφῇ ὃ νῦν, φησίν, ἡμεῖς λέγομεν ψαλτήριον, τοῦτ' εἶναι μάγαδιν, ὁ δὲ κλεψίαμβος κληθείς, ἔτι δὲ ὁ τρίγωνος καὶ ὁ ἔλυμος καὶ τὸ ἐννεάχορδον ἀμαυρότερα τῇ χρείᾳ καθέστηκε.' καὶ Ἀλκμὰν
637 δέ φησι 'μάγαδιν δ' ἀποθέσθαι.' Σοφοκλῆς δ' ἐν Θαμύρᾳ

πηκταὶ δὲ λύραι καὶ μαγάδιδες
τά τ' ἐν Ἕλλησι ξόαν' ἡδυμελῆ.

Τελέστης δ' ἐν Ὑμεναίῳ διθυράμβῳ πεντάχορδόν φησιν αὐτὴν εἶναι διὰ τούτων

ἄλλος δ' ἄλλαν κλαγγὰν ἱεὶς
κερατόφωνον ἐρέθιζε μάγαδιν,
ἐν πενταράβῳ χορδᾶν ἀριθμῷ
χεῖρα καμψιδίαυλον ἀναστρωφῶν τάχος.

οἶδα δὲ καὶ ἄλλο ὄργανον, ᾧ τῶν Θρᾳκῶν οἱ βασιλεῖς ἐν τοῖς δείπνοις χρῶνται, ὥς φησι Νικομήδης ἐν τῷ
b περὶ Ὀρφέως. φοίνικα δὲ τὸ ὄργανον Ἔφορος καὶ Σκάμων ἐν τοῖς περὶ εὑρημάτων ὑπὸ Φοινίκων εὑρεθέντα ταύτης τυχεῖν τῆς προσηγορίας· Σῆμος δὲ ὁ

Δήλιος ἐν πρώτῳ Δηλιάδος διὰ τὸ ἐκ τοῦ ἐν Δήλῳ φοίνικος τοὺς ἀγκῶνας αὐτοῦ ἐξεργάσασθαι. τῇ σαμβύκῃ πρώτην φησὶ χρήσασθαι Σίβυλλαν Σκάμων ὁ προειρημένος· ὀνομασθῆναι δ' αὐτὴν εὑρεθεῖσαν ὑπὸ Σάμβυκός τινος.

41. καὶ περὶ τοῦ τρίποδος δὲ καλουμένου, ὄργανον δὲ καὶ τοῦτο μουσικόν, ὁ προειρημένος Ἀρτέμων γράφει οὕτως· 'ὅθεν πολλὰ τῶν ὀργάνων οὐδ' εἰ γέγονέ ποτε γινώσκεται, καθάπερ ὁ Πυθαγόρου τοῦ c Ζακυνθίου τρίπους. ὀλιγοχρόνιον γὰρ τὴν ἀκμὴν σχών, καὶ διὰ τὸ δοκεῖν ἐργώδης εἶναι κατὰ τὴν χειροθεσίαν ἢ δι' ἣν δή ποτ' οὖν αἰτίαν συντόμως καταλυθεὶς διαλέληθε τοὺς πολλούς. ἦν δὲ παραπλήσιος μὲν δελφικῷ τρίποδι καὶ τοὔνομ' ἐντεῦθεν ἔσχε, τὴν δὲ χρῆσιν τριπλῆς κιθάρας παρείχετο. τῶν γὰρ ποδῶν ἑστώτων ἐπί τινος βάσεως εὐστρόφου, καθάπερ αἱ τῶν περιάκτων δίφρων κατασκευάζονται θέσεις, τὰς μέσας τρεῖς χώρας τὰς ἀπὸ ποδὸς ἐπὶ d πόδα διεστώσας ἐνέτεινε χορδαῖς, ὑπερθεὶς ἑκάστῃ πῆχυν καὶ κάτω προσαρμόσας χορδοτόνια, καὶ τὸν ἐπάνω κόσμον κοινὸν τοῦ λέβητος καὶ τῶν παρηρτημένων ἐνίων ἀποδούς· ἐξ ὧν καὶ τὴν φαντασίαν εἶχεν ἀστείαν καὶ τὸν ἦχον προσέβαλλεν ἁδρότερον. διένειμε δ' ἑκάστῃ χώρᾳ τὰς τρεῖς ἁρμονίας, τήν τε δωριστὶ καὶ λυδιστὶ καὶ φρυγιστί. καὶ καθεζόμενος αὐτὸς ἐπί τινος δίφρου περὶ ταυτὸν συμμέτρως ἔχοντα τῇ συστάσει, διείρας δὲ τὴν εὐώνυμον χεῖρα πρὸς τὴν ἐπιβολήν, καὶ τῇ ἑτέρᾳ χρησόμενος τῷ πλήκτρῳ, καθ' e ὁποίαν ἂν πρώτην ᾑρεῖτο τῶν ἁρμονιῶν, μετέστρεφε τῷ ποδὶ τὴν βάσιν εὔτροχον οὖσαν, καὶ πρὸς ἑτέραν πλευρὰν πάλιν ἐπιβάλλων ἐχρῆτο καὶ πάλιν ἑτέραν. οὕτω δ' ὀξέως ὑπὸ τὴν χεῖρα προσῆγεν αὐτῷ τὰ

συστήματα ἡ τῆς βάσεως εὐκινησία τῷ ποδὶ ψαυο-
μένη, καὶ τὴν χειροθεσίαν ἐπὶ τοσοῦτον εἰθίσθη κατ-
οξύνειν, ὥστ', εἴ τις μὴ ξυνορῴη τὸ γινόμενον ἀλλὰ
διὰ τῆς ἀκοῆς μόνον κρίνοι, νομίζειν τριῶν κιθαρι-
f στῶν ἀκούειν διαφόρως ἡρμοσμένων. καὶ τοῦτο τὸ
ὄργανον θαυμασθὲν ἰσχυρῶς μετὰ τὸν ἐκείνου βίον
ἐξέλιπεν εὐθέως.'

42. τὴν δὲ ψιλὴν κιθάρισιν πρῶτόν φησι Μέ-
ναιχμος εἰσαγαγεῖν Ἀριστόνικον τὸν Ἀργεῖον, τῇ ἡλι-
κίᾳ γενόμενον κατὰ Ἀρχίλοχον, κατοικήσαντα ἐν
Κορκύρᾳ. Φιλόχορος δ' ἐν τρίτῃ Ἀτθίδος 'Λύσανδρος
(φησὶν) ὁ Σικυώνιος κιθαριστὴς πρῶτος μετέστησε
τὴν ψιλοκιθαριστικήν, μακροὺς τοὺς τόνους ἐντείνας,
καὶ τὴν φωνὴν εὔογκον ποιήσας, καὶ τὴν ἔναυλον
κιθάρισιν, ᾗ πρῶτοι οἱ περὶ Ἐπίγονον ἐχρήσαντο.
638 καὶ περιελὼν τὴν συντομίαν τὴν ὑπάρχουσαν ἐν
τοῖς ψιλοῖς κιθαρισταῖς, χρώματά τε εὔχροα πρῶτος
ἐκιθάρισε καὶ ἰάμβους καὶ μάγαδιν, τὸν καλούμενον
συριγμόν· καὶ ὄργανον μετέλαβε μόνος τῶν πρὸ αὐ-
τοῦ. καὶ τὸ πρᾶγμα αὐξήσας χορὸν περιεστήσατο
πρῶτος. Δίωνα δὲ τὸν Χῖον τὸ τοῦ Διονύσου σπον-
δεῖον πρῶτον κιθαρίσαι Μέναιχμος. Τιμόμαχος δ'
ἐν τοῖς Κυπριακοῖς Στήσανδρον λέγει τὸν Σάμιον
ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην, καὶ πρῶτον ἐν Δελ-
b φοῖς κιθαρῳδῆσαι τὰς καθ' Ὅμηρον μάχας, ἀρξάμε-
νον ἀπὸ τῆς Ὀδυσσείας. ἄλλοι δὲ πρῶτόν φασι παρ'
Ἐλευθερναίοις κιθαρίσαι τὰς ἐρωτικὰς ᾠδὰς Ἀμήτορα
τὸν Ἐλευθερναῖον, οὗ καὶ τοὺς ἀπογόνους Ἀμητορί-
δας καλεῖσθαι. Ἀριστόξενος δέ φησιν, ὥσπερ τῶν
ἑξαμέτρων τινὲς ἐπὶ τὸ γελοῖον παρῳδὰς εὗρον, οὕτω
καὶ τῆς κιθαρῳδίας πρῶτος Οἰνώπας· ὃν ἐξήλωσαν
Πολύευκτός τε ὁ Ἀχαιὸς καὶ Διοκλῆς ὁ Κυναιθεύς.

καὶ μοχθηρῶν δὲ ᾀσμάτων γεγόνασι ποιηταί, περὶ ὧν φησὶ Φανίας ὁ Ἐρέσιος ἐν τοῖς πρὸς τοὺς σοφιστάς, γράφων οὕτως 'Τελένικος ὁ Βυζάντιος, ἔτι δὲ c
Ἀργᾶς, ποιηταὶ μοχθηρῶν ὄντες νόμων, πρὸς μὲν τὸν ἴδιον χαρακτῆρα τῆς ποιήσεως εὐπόρουν, τῶν δὲ Τερπάνδρου καὶ Φρύνιδος νόμων οὐδὲ κατὰ μικρὸν ἠδύναντο ἐπιψαῦσαι.' τοῦ Ἀργᾶ μνημονεύει Ἄλεξις ἐν Ἀποβάτῃ οὕτως

Χορόνικος ὁ ποιητὴς ὁδί.
Β. τίνων ποιητὴς ᾀσμάτων; Α. σεμνῶν πάνυ.
Β. τί πρὸς τὸν Ἀργᾶν οὗτος; Α. ἡμέρας δρόμῳ
κρείττων.

καὶ Ἀναξανδρίδης ἐν Ἡρακλεῖ

ὃ μὲν γὰρ εὐφυής τις εἶναι φαίνεται, d
ὡς δ' εὐρύθμως λαβὼν τὸ μελετητήριον
εἶτ' ἐσχεδίασε δριμέως ἐν . . Β. παπαῖ.
μεστὸς γενόμενος πρὸς τὸν Ἀργᾶν βούλομαι
κωδωνίσας πέμψαι σ' ἀγωνιούμενον,
ἵνα καὶ σὺ νικᾷς τοὺς σοφιστάς, ὦ φίλε.

43. ὁ δὲ τοὺς εἰς Χιωνίδην ἀναφερομένους ποιήσας Πτωχοὺς Γνησίππου τινὸς μνημονεύει παιγνιαγράφου τῆς ἱλαρᾶς μούσης, λέγων οὕτως

ταῦτ' οὐ μὰ Δία Γνήσιππος οὐδὲ Κλεομένης
ἐν ἐννέ' ἂν χορδαῖς κατεγλυκήνατο. e

καὶ ὁ τοὺς Εἵλωτας δὲ πεποιηκώς φησι

τὰ Στησιχόρου τε καὶ Ἀλκμᾶνος Σιμωνίδου τε
ἀρχαῖον ἀείδειν. ὁ δὲ Γνήσιππος ἔστιν ἀκούειν.
κεῖνος νυκτερίν' εὗρε μοιχοῖς ἀείσματ' ἐκκαλεῖσθαι
γυναῖκας ἔχοντας ἰαμβύκην τε καὶ τρίγωνον.

Κρατῖνος ἐν Μαλθακοῖς

τίς ἄρ᾽ ἐρῶντά μ᾽ οἶδεν ὦ Γνήσιππέ πω; πολλὴ χολή.
οἴομαι γὰρ μηδὲν οὕτως μῶρον εἶναι καὶ κενόν.

σκώπτει δὲ αὐτὸν εἰς τὰ ποιήματα καὶ ἐν Βουκόλοις

f ὃς οὐκ ἔδωκ᾽ αἰτοῦντι Σοφοκλέει χορόν,
τῷ Κλεομάχου δ᾽, ὃν οὐκ ἂν ἠξίουν ἐγὼ
ἐμοὶ διδάσκειν οὐδ᾽ ἂν εἰς ἀδώνια.

ἐν δὲ ταῖς Ὥραις

ἴτω δὲ καὶ τραγῳδίας
ὁ Κλεομάχου διδάσκαλος,
παρατιλτριῶν ἔχων χορὸν
λυδιστὶ τιλλουσῶν μέλη
πονηρά.

639 Τηλεκλείδης δ᾽ ἐν τοῖς Στερροῖς καὶ περὶ μοιχείας ἀναστρέφεσθαί φησιν αὐτόν. Κλέαρχος δ᾽ ἐν δευτέρῳ Ἐρωτικῶν τὰ ἐρωτικά φησιν ᾄσματα καὶ τὰ λοκρικὰ καλούμενα οὐδὲν τῶν Σαπφοῦς καὶ Ἀνακρέοντος διαφέρειν. ἔτι δὲ τὰ Ἀρχιλόχου καὶ τῶν Ὁμήρου Ἐπικιχλίδων τὰ πολλὰ διὰ τῆς ἐμμέτρου ποιήσεως τούτων ἔχεταί τινος τῶν παθῶν, ἀλλὰ καὶ τὰ Ἀσωποδώρου περὶ τὸν ἔρωτα καὶ πᾶν τὸ τῶν ἐρωτικῶν ἐπιστολῶν γένος ἐρωτικῆς τινὸς διὰ λόγου ποιήσεώς ἐστιν.

b 44. τοσαῦτα τοῦ Μασουρίου διεξελθόντος περιηνέχθησαν ἡμῖν καὶ αἱ δεύτεραι καλούμεναι τράπεζαι, πολλάκις ἡμῖν διδόμεναι οὐ μόνον ταῖς τῶν κρονίων ἡμέραις, ἐν αἷς Ῥωμαίων παισὶν ἔθος ἐστὶν ἑστιᾶν τοὺς οἰκέτας, αὐτοὺς τὰς τῶν οἰκετῶν ἀναδεχομένους λειτουργίας. ἑλληνικὸν δὲ τοῦτο τὸ ἔθος. ἐν Κρήτῃ γοῦν τῇ τῶν ἑρμαίων ἑορτῇ τὸ ὅμοιον γίνεται, ὥς φησι Καρύστιος ἐν ἱστορικοῖς ὑπομνήμασιν. εὐωχουμένων γὰρ τῶν οἰκετῶν οἱ δεσπόται ὑπηρε-

τοῦσι πρὸς τὰς διακονίας. καὶ ἐν Τροιζῆνι δὲ μηνὶ γεραιστίῳ· πανήγυρις δὲ τότε γίνεται πολυήμερος, c
ἧς ἐν μιᾷ οἱ δοῦλοι μετὰ τῶν πολιτῶν κοινῇ τε ἀστραγαλίζουσι καὶ οἱ κύριοι τοὺς δούλους ἑστιῶσιν, ὡς ὁ αὐτός φησι Καρύστιος. Βήρωσος δ' ἐν πρώτῳ Βαβυλωνιακῶν τῷ λώῳ φησὶ μηνὶ ἑκκαιδεκάτῃ ἄγεσθαι ἑορτὴν Σακαῖα προσαγορευομένην ἐν Βαβυλῶνι ἐπὶ ἡμέρας πέντε, ἐν αἷς ἔθος εἶναι ἄρχεσθαι τοὺς δεσπότας ὑπὸ τῶν οἰκετῶν, ἀφηγεῖσθαί τε τῆς οἰκίας ἕνα αὐτῶν ἐνδεδυκότα στολὴν ὁμοίαν τῇ βασιλικῇ, ὃν καὶ καλεῖσθαι ζωγάνην. μνημονεύει τῆς ἑορτῆς καὶ Κτησίας ἐν δευτέρῳ Περσικῶν. Κῷοι δὲ τοὐναν- d
τίον δρῶσιν, ὡς ἱστορεῖ Μακαρεὺς ἐν τρίτῳ Κῳακῶν. ὅταν γὰρ τῇ Ἥρᾳ θύωσι, δοῦλοι οὐ παραγίνονται ἐπὶ τὴν εὐωχίαν. διὸ καὶ Εὐφορίωνα εἰρηκέναι που

Ῥειώνῃ μοῦνοι μὲν ἐλεύθεροι ἱεροεργοὶ
ἀνδράσι πὰρ Κῴοισιν ἐλεύθερον ἆμαρ ἔχοντες·
δούλων δ' οὔτις πάμπαν ἐσέρχεται οὐδ' ἠβαιόν.

45. Βάτων δ' ὁ Σινωπεὺς ὁ ῥήτωρ ἐν τῷ περὶ Θεσσαλίας καὶ Αἱμονίας σαφῶς ἐμφανίζει τὴν τῶν e
σατουρναλίων ἑορτὴν ἑλληνικωτάτην, φάσκων αὐτὴν παρὰ τοῖς Θεσσαλοῖς πελώρια καλεῖσθαι, γράφων οὕτως· θυσίας κοινῆς τοῖς Πελασγοῖς γινομένης ἀναγγεῖλαί τινα τῷ Πελασγῷ ἄνδρα ᾧ ὄνομα ἦν Πέλωρος, διότι ἐν τῇ Αἱμονίᾳ σεισμῶν μεγάλων γενομένων ῥαγείη τὰ Τέμπη ὄρη ὀνομαζόμενα, καὶ διότι διὰ τοῦ διαστήματος ὁρμῆσαν τὸ τῆς λίμνης ὕδωρ ἐμβάλλοι εἰς τὸ τοῦ Πηνειοῦ ῥεῖθρον, καὶ τὴν πρότερον λιμνάζουσαν χώραν ἅπασαν γεγυμνῶσθαι, καὶ ἀναξηραινομένων τῶν ὑδάτων πεδία θαυμαστὰ τῷ μεγέθει f
καὶ τῷ κάλλει ἀναφαίνεσθαι. ἀκούσαντα οὖν τὸν Πελασγὸν τὴν τράπεζαν ἀφθόνως αὐτῷ κεκοσμημένην

τῷ Πελώρῳ παραθεῖναι. καὶ τοὺς ἄλλους δὲ φιλοφρονουμένους ἕκαστον φέρειν ὅ τι ἔχοι παρ᾽ αὑτῷ βέλτιστον καὶ παρατιθέναι ἐπὶ τὴν τράπεζαν τῷ ἀπαγγείλαντι, καὶ αὐτὸν τὸν Πελασγὸν προθύμως διακονεῖν καὶ τῶν ἄλλων τοὺς ἐν ἀξιώματι ὄντας ὑπηρετεῖν, καθότι ἑκάστῳ ὁ καιρὸς παρέπιπτε. διόπερ φασίν, ἐπεὶ τὴν χώραν κατέσχον, ἀπομίμημα τῆς τότε γενομένης ἑορτῆς, θύοντας Διὶ πέλωρι τραπέζας
640 τε λαμπρῶς κοσμοῦντας προτιθέναι καὶ οὕτως φιλάνθρωπον τὴν πανήγυριν συντελεῖν ὥστε καὶ τοὺς ξένους ἅπαντας ἐπὶ τὴν θοίνην παραλαμβάνειν καὶ τοὺς δεσμώτας λύειν καὶ τοὺς οἰκέτας κατακλίναντας μετὰ πάσης παρρησίας ἑστιᾶν, διακονούντων αὐτοῖς τῶν δεσποτῶν· καὶ τὸ σύνολον ἔτι καὶ νῦν Θεσσαλοὺς μεγίστην ἑορτὴν ἄγοντας προσαγορεύειν Πελώρια.᾽

46. πολλάκις οὖν, ὡς ἔφην, τῶν τοιούτων ἡμῖν παρατιθεμένων ἐπιδορπισμάτων ἔφη τις τῶν παρ-
b όντων ῾αἵ δεύτεραί πως φροντίδες σοφώτεραι.᾽

τί γὰρ ποθεῖ τράπεζα; τῷ δ᾽ οὐ βρίθεται;
πλήρης μὲν ὄψων ποντίων, πάρεισι δὲ
μόσχων τέρειναι σάρκες ἀρνεία τε δαίς,
καὶ πεπτὰ καὶ κροτητὰ τῆς ξουθοπτέρου
πελάνῳ μελίσσης ἀφθόνως δεδευμένα·

φησὶν ὁ Εὐριπίδης ἐν Κρήσσαις. καὶ ὡς ὁ Εὔβουλος δ᾽ ἐν Ὀλβίᾳ ἔφη

ἐν τῷ γὰρ αὐτῷ πάνθ᾽ ὁμοῦ πωλήσεται
ἐν ταῖς Ἀθήναις· σῦκα κλητῆρες βότρυς
c γογγυλίδες ἄπιοι μῆλα μάρτυρες ῥόδα
μέσπιλα χόρια σχαδόνες ἐρέβινθοι δίκαι
πυὸς πυριάτη μύρτα κληρωτήρια
ὑάκινθος ἄρνες κλεψύδραι νόμοι γραφαί.

μέλλοντος οὖν τοῦ Ποντιανοῦ λέγειν περὶ ἑκάστου τῶν παρακειμένων, οὐ πρότερόν γε, ἔφη ὁ Οὐλπιανός, ἀκουσόμεθα περὶ τούτων, ἕως ἂν περὶ τῶν ἐπιδορπισμάτων εἴπῃ. καὶ ὁ Ποντιανός, τραγήματα Κράτης φησὶ Φιλιππίδην λέγειν ἐν Φιλαργύρῳ οὕτως

πλακοῦντες ἐπιδορπίσματ' ᾠὰ σήσαμα. d
ὅλην λέγοντ' ἄν μ' ἐπιλίποι τὴν ἡμέραν.

καὶ Δίφιλος ἐν Τελεσίᾳ

τράγημα μυρτίδες πλακοῦς ἀμυγδαλαῖ·
B. ἐγὼ δὲ ταῦθ' ἥδιστά γ' ἐπιδορπίζομαι.

Σώφιλος ἐν Παρακαταθήκῃ

ἡδύ γε μετ' ἀνδρῶν ἐστὶν Ἑλλήνων ἀεὶ
συνάγειν· τὸ πρᾶγμα χάριεν. οὐχὶ δώδεκα
κυάθους, ἀνεβόησέν τις, ὑποχεῖς; κωμάσαι
πρὸς τὴν Ταναγρικὴν δεῖ γάρ, ἵν' ἐκεῖ κατακλιθεὶς
ἐπιδορπίσηται τὰς ὀνείας ματτύας.

Πλάτων ἐν τῷ Ἀτλαντικῷ μεταδόρπια αὐτὰ καλεῖ ἐν e τούτοις 'πάντα τ' εὐώδη ἔφερε τοῖς κατοικοῦσιν ἡ γῆ, καὶ τὸν ἥμερον δὲ καρπὸν πλεῖστον ἔφερε, καὶ ἀκροδρύων πλῆθος, καὶ ὅσα παραμύθια ἡδονῆς μεταδόρπια.'

47. Τρύφων δέ φησι τὸ παλαιὸν πρὶν εἰσελθεῖν τοὺς δαιτυμόνας ἐπὶ τῶν τραπεζῶν κεῖσθαι τὴν ἑκάστου μοῖραν, ὕστερον δὲ πολλά τε καὶ ποικίλα ἐπεισφέρεσθαι· διὸ καὶ ἐπιφορήματα κληθῆναι. Φιλύλλιος δ' ἐν Φρεωρύχῳ φησὶ περὶ τῶν δευτέρων τραπε- f ζῶν λέγων

ἀμυγδάλια καρύδι', ἐπιφορήματα.

καὶ Ἄρχιππος ἐν Ἡρακλεῖ καὶ Ἡρόδοτος ἐν πρώτῃ. καὶ ἐπιδορπίσασθαι δ' ἔλεγον τὸ ἐντραγεῖν καὶ ἐπιδειπνῆσαι. ἅπερ Ἄρχιππος ἐν Ἡρακλεῖ γαμοῦντι ἐπι-

φορήματα καλεῖ διὰ τούτων ʽἰτρίοις ἐπιφορήμασί τ᾽ ἄλλοις γέμουσα.᾽ καὶ Ἡρόδοτος δ᾽ ἐν τῇ πρώτῃ ʽσι-
641 τίοις δὲ ὀλίγοισι χρέονται, ἐπιφορήμασι δὲ πολλοῖς.᾽ τὸ μέντοι κατὰ τὴν παροιμίαν λεγόμενον ἀβυδηνὸν ἐπιφόρημα τέλος τί ἐστι καὶ ἐλλιμένιον, ὥς Ἀριστείδης φησὶν ἐν τρίτῳ περὶ παροιμιῶν. Διονύσιος δὲ ὁ τοῦ Τρύφωνος ʽτὸ μὲν παλαιὸν πρὶν εἰσελθεῖν τοὺς δαιτυμόνας ἐπὶ τῶν τραπεζῶν κεῖσθαι τὴν ἑκάστου μοῖραν, ὕστερον δὲ πολλὰ καὶ ποικίλα ἐπιφέρεσθαι. διὸ καὶ ἐπιφορήματα κληθῆναι.᾽ Φιλύλλιος δ᾽ ἐν Φρεωρύχῳ τὰ ἐπιφερόμενα μετὰ τὸ δειπνῆσαι λέγων ὧδε

b ἀμυγδάλια καρύδι᾽, ἐπιφορήματα.

Πλάτων δ᾽ ἐν Μενέλεῳ ἐπιτραπεζώματα αὐτὰ καλεῖ, οἷον τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα, λέγων οὕτως

εἰπέ μοι,
ὡς ὀλίγα λοιπὰ τῶν ἐπιτραπεζωμάτων.
Β. ὁ γὰρ θεοῖσιν ἐχθρὸς αὐτὰ κατέφαγεν.

Ἀριστοτέλης δ᾽ ἐν τῷ περὶ μέθης τὰ τραγήματά φησι λέγεσθαι ὑπὸ τῶν ἀρχαίων τρωγάλια, ὡσεὶ γὰρ ἐπιδορπισμὸν εἶναι. Πίνδαρος δ᾽ ἐστὶν ὁ εἰπών

c δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον,
καίπερ πέδ᾽ ἄφθονον βοράν.

ὄντως γὰρ κατὰ τὸν Εὐριπίδην ἀποβλέψαντα ἔστιν εἰς τὰ παρακείμενα εἰπεῖν

ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος.

48. ὅτι γὰρ ἦσαν καὶ παρὰ τοῖς ἀρχαίοις αἱ δεύτεραι τράπεζαι πολυτελῶς μεμεριμνημέναι παρίστησι Πίνδαρος ἐν Ὀλυμπιονίκαις περὶ τῆς Πέλοπος κρεουργίας διηγούμενος

τραπέζαισι δ᾽ ἀμφὶ δεύτερα κρεῶν

σέθεν διεδάσαντο καὶ φάγον.
ἐμοὶ δ᾽ ἄπορα γαστρίμαργον μακάρων τιν᾽ εἰπεῖν. d

οἱ δὲ παλαιότεροι ἁπλῶς τραπέζας ἔλεγον, ὡς Ἀχαιὸς ἐν Ἡφαίστῳ σατυρικῷ

θοίνῃ σε πρῶτον τέρψομεν. πάρεστι δέ.
Β. τὸ δεύτερον δὲ τῷ με κηλήσεις τρόπῳ;
Α. μύρῳ σε χρίσω πάμπαν εὐόσμῳ δέμας.
Β. ὕδωρ δὲ νίψαι χεῖρας οὐ πρόσθεν δίδως;
Α. ναί· καὶ τράπεζά γ᾽ ἐκποδὼν ἀπαίρεται.

Ἀριστοφάνης Σφηξίν

ὕδωρ κατὰ χειρός, τὰς τραπέζας εἰσφέρειν.

Ἀριστοτέλης δὲ ἐν τῷ περὶ μέθης παραπλησίως ἡμῖν δευτέρας τραπέζας ἀπαγορεύει διὰ τούτων 'τὸ μὲν e οὖν ὅλον διαφέρειν τράγημα βρώματος νομιστέον ὅσον ἔδεσμα τρωγαλίου. τοῦτο γὰρ πάτριον τοὔνομα τοῖς Ἕλλησιν, ἐπεὶ ἐν τραγήμασι τὰ βρώματα παρατίθενται. διόπερ οὐ κακῶς ἔοικεν εἰπεῖν ὁ πρῶτος δευτέραν προσαγορεύσας τράπεζαν· ὄντως γὰρ ἐπιδορπισμός τις ὁ τραγηματισμός ἐστι, καὶ δεῖπνον ἕτερον παρατίθεται τραγήματα.' Δικαίαρχος δ᾽ ἐν πρώτῳ τῆς εἰς Τροφωνίου καταβάσεώς φησιν οὕτως 'ἥ γε τὴν πολλὴν δαπάνην ἐν τοῖς δείπνοις παρέχουσα f δευτέρα τράπεζα προσεγένετο καὶ στέφανοι καὶ μύρα καὶ θυμιάματα καὶ τὰ τούτοις ἀκόλουθα πάντα.'

49. ἐδίδοτο δὲ καὶ ᾠὸν ἐν τῇ δευτέρᾳ τραπέζῃ, ὥσπερ καὶ λαγῷα καὶ κίχλαι κοινῇ μετὰ τῶν μελιπήκτων εἰσεφέρετο, ὡς Ἀντιφάνης ἐν Λεπτινίσκῳ φησὶν οὕτως

οἶνον Θάσιον πίνοις ἄν; Β. εἴ τις ἐγχέαι.
Α. πρὸς ἀμυγδάλας δὲ πῶς ἔχεις; Β. εἰρηνικῶς.
μαλακὰς σφόδρα, δι᾽ ἃς μέλιτι προσπαίζειν βία.

*Α. μελίπηκτα δ' εἴ σοι προσφέροι; Β. τρώγοιμι καὶ*
642 *ᾠὸν δὲ καταπίνοιμ' ἄν. Α. ἄλλου δεῖ τινός;*

*ἐν δὲ Ὁμοίοις*

*εἶτ' ἐπεισῆγεν χορείαν ἢ τράπεζαν δευτέραν*
*καὶ παρέθηκε γέμουσαν πέμμασι παντοδαποῖς.*

*Ἄμφις δ' ἐν Γυναικομανίᾳ*

*ἤδη ποτ' ἤκουσας βίον*
*ἀληλεμένον; Β. ναὶ τοῦτ' ἐκεῖν' ἔστιν σαφῶς·*
*ἄμητες, οἶνος ἡδύς, ᾠά, σησαμαῖ,*
*μύρον, στέφανος, αὐλητρίς. Β. ὦ Διοσκόρω,*
b *τὠνόματα τῶν δώδεκα θεῶν διελήλυθας.*

*Ἀναξανδρίδης Ἀγροίκοις*

*ὡς δ' ἐστεφανώθην, ἡ τράπεζ' εἰσήγετο,*
*τοσαῦτ' ἔχουσα βρώμαθ' ὅσα μὰ τοὺς θεοὺς*
*καὶ τὰς θεὰς οὐδ' εἰ γέγονεν ᾔδειν ἐγώ·*
*οὕτως παρέζων, Χρῆστε, κοὐκ ἔζων τότε.*

*Κλέαρχος Πανδρόσῳ*

*λάβ' ὕδωρ κατὰ χειρός. Β. μηδαμῶς. καλῶς ἔχει.*
c *Α. λάβ' ὦγάθ'. οὐδὲν χεῖρον. ἡ παῖς ἐπιτίθει*
*ἐπὶ τὴν τράπεζαν κάρυα καὶ τραγήματα.*

*Εὔβουλος Καμπυλίωνι*

*τραγημάτων δ' ἔσθ' ἡ τράπεζά σοι πλέα.*
*Β. οὐ φιλοτραγήμων εἰμί πως ἑκάστοτε.*

*Ἄλεξις Πολυκλείᾳ (ἑταίρας δ' ὄνομα Πολύκλεια)*

*ὁ πρῶτος εὑρὼν κομψὸς ἦν τραγήματα.*
*τοῦ συμποσίου γὰρ διατριβὴν ἐξεῦρέ πως*
*κἀργοὺς ἔχειν μηδέποτε τὰς σιαγόνας.*

d *καὶ ἐν Ὁμοίᾳ (τὸ δ' αὐτὸ δρᾶμα καὶ ὡς Ἀντιδότου φέρεται)*

*οὐδὲ φιλόδειπνός εἰμι, μὰ τὸν Ἀσκληπιόν,*

τραγήμασιν χαίρω δὲ μᾶλλον. Β. εὖ πάνυ.
Α. τραγήματ᾽ αἰσθάνομαι γὰρ ὅτι νομίζεται
τοῖς νυμφίοις μετιοῦσι τὴν νύμφην λέγεις
παρέχειν, ἄμητας καὶ λαγῷα καὶ κίχλας.
τούτοισι χαίρω, τοῖς δὲ κεκαρυκευμένοις
ὄψοισι καὶ ζωμοῖσιν ἥδομ᾽, ὦ θεοί.

Ἀπίων δὲ καὶ Διόδωρος, ὥς φησι Πάμφιλος, ἐπαί- e
κλειά φασι καλεῖσθαι τὰ μετὰ τὸ δεῖπνον τραγήματα.

50. Ἔφιππος Ἐφήβοις

χόνδρος μετὰ ταῦτ᾽ εἰσῆλθε, μύρον αἰγύπτιον,
φοινικίνου βῖκός τις ὑπανεῴγνυτο,
ἴτρια τραγήμαθ᾽ ἧκε, πυραμοῦς, ἄμης,
ᾠῶν ἑκατόμβη. πάντα ταῦτ᾽ ἐχναύομεν·
ἐμασώμεθ᾽ οὕτως ἀνδρικῶς ὅσ᾽ εἴχομεν,
καὶ γὰρ παραμασύντας τινὰς παραβόσκομεν.

καὶ ἐν Κύδωνι

καὶ μετὰ δεῖπνον κόκκος . . .
ἐρέβινθος . . . κύαμος
χόνδρος τυρὸς
μέλι σησαμίδες βράχος βρυγμὸς
μνοῦς πυραμίδες μῆλον κάρυον f
γάλα κανναβίδες κόγχαι χυλὸς
Διὸς ἐγκέφαλος.

Ἄλεξις Φιλίσκῳ

ἀρτέον
τράπεζαν, ἀπονίψαι δοτέον, προσοιστέος
στέφανος, μύρον, σπονδή, λιβανωτός, ἐσχαρίς,
τράγημα δοτέον ἔτι, πλακοῦντος ἁπτέον.

ἐπεὶ δὲ καὶ ὁ Κυθήριος Φιλόξενος ἐν τῷ Δείπνῳ δευτέρων τραπεζῶν μνημονεύων πολλὰ καὶ τῶν ἡμῖν 643
παρακειμένων ὠνόμασε, φέρε καὶ τούτων ἀπομνημονεύσωμεν

τὰς δὲ δὴ πρόσθεν μολούσας . . . λιπαραυγεῖς,
πορθμίδας πολλῶν ἀγαθῶν πάλιν εἴσφερον γε-
μούσας,
τὰς ἐφημέριοι καλεῦντι νῦν τραπέζας [δευτέ-
ρας],
ἀθάνατοι δέ τ' Ἀμαλθείας κέρας. ταῖς δ' ἐν
μέσαις
ἐγκαθιδρύθη μέγα χάρμα βροτοῖς
λευκὸς μυελὸς γλυκερός, λεπτοῖς ἀράχνας ἐνα-
λιγκίοισι πέπλοις
συγκαλύπτων ὄψιν αἰσχύνας ὕπο, μὴ κατίδῃς τι
μαλογενὲς πῶϋ λιπόντ' ἀνάγκαις
b ξηρὸν ἐν ξηροῖς Ἀρισταίου παλιρρύτοισι παγαῖς.
τῷ δ' ὄνομ' ἦς ἄμυλος. χερσὶν δ' ἐπέθεντο στό-
μιον μαλεραῖς
τὰν δεξαμέναν ὅ τι κα διδῷ τις. ἃ Ζανὸς κα-
λεῦντι
τρώγματ'. ἔπειτ' ἐπένειμεν ἐγκατακνακομιγὲς
πεφρυγμένον
πυρβρομολευκερεβινθακανθομόκρατον ἁδὺ
βρῶμα τὸ παγκατάμικτον· ἀμπυρικηριοδηστίχας.
παρεγίνετο τούτοις
σταιτινοκογχομαγὴς ὅ τε ξεσελαιοξανθεπιπαγ-
καπύρωτος χοιρινισ.
c ἁδέα δ' εὐκύκλωθ' ὁλόφωκτ' ἀνάριθμα,
καὶ μελίπηκτα τετυγμέν' ἄφθονα σασαμόφωκτα.
τυρακίνας τε γάλακτι καὶ μελισυγκατάφυρτος
ἦς ἄμυλος πλατανίτας·
σασαμορυτοπάγη δὲ καὶ ξεσελαιοπαγῆ πλατύνετο
σασαμόπαστα
πέμματα· κᾆτ' ἐρέβινθοι κνακοσυμμιγεῖς ἁπα-
λαῖς θάλλοντες ὥραις,

ᾠά τ᾽ ἀμυγδαλίδες τε τᾶν μαλακοφλοΐδων τε
τρωκτά τε παισὶν
ἀδυΐδη κάρυ᾽· ἄλλα θ᾽ ὅσσα πρέπει παρὰ θοίναν
ὀλβιόπλουτον [ἔμεν]· πόσις δ᾽ ἐπεραίνετο κότ-
ταβοί τε λόγοι τ᾽ ἐπὶ κοινᾶς.
ἔνθα τι καινὸν ἐλέχθη κομψὸν ἀθυρμάτιον καὶ
θαύμασαν αὔτ᾽ ἐπί τ᾽ ᾔνησαν. d

ταῦτα ὁ Κυθήριος Φιλόξενος. ὃν ἐπαινῶν Ἀντιφάνης
ἐν τῷ Τριταγωνιστῇ φησι

πολύ γ᾽ ἐστὶ πάντων τῶν ποιητῶν διάφορος
ὁ Φιλόξενος. πρώτιστα μὲν γὰρ ὀνόμασιν
ἰδίοισι καὶ καινοῖσι χρῆται πανταχοῦ.
ἔπειτα τὰ μέλη μεταβολαῖς καὶ χρώμασιν
ὡς εὖ κέκραται. θεὸς ἐν ἀνθρώποισιν ἦν
ἐκεῖνος, εἰδὼς τὴν ἀληθῶς μουσικήν. e
οἱ νῦν δὲ κισσόπλεκτα καὶ κρηναῖα καὶ
ἀνθεσιπότατα μέλεα μελέοις ὀνόμασιν
ποιοῦσιν ἐμπλέκοντες ἀλλότρια μέλη.

51. πλακούντων δὲ ὀνόματα πολλῶν καταλεξάν-
των, ὅσων μέμνημαι, τούτων σοι καὶ μεταδώσω. οἶδα
δὲ καὶ Καλλίμαχον ἐν τῷ τῶν παντοδαπῶν συγγραμ-
μάτων πίνακι ἀναγράφοντα πλακουντοποιικὰ συγ-
γράμματα Αἰγιμίου καὶ Ἡγησίππου καὶ Μητροβίου, f
ἔτι δὲ Φαίστου. ἡμεῖς δὲ ἃ μετεγράψαμεν ὀνόματα
πλακούντων, τούτων σοι καὶ μεταδώσομεν, οὐχ ὡς
τοῦ ὑπ᾽ Ἀλκιβιάδου πεμφθέντος Σωκράτει· ὃν Ξαν-
θίππης καταγελασάσης ὁ Σωκράτης, οὐκοῦν, ἔφη,
οὐδὲ σὺ μεθέξεις τούτου. τοῦτο δὲ ἱστόρησεν Ἀντί-
πατρος ἐν τῷ πρώτῳ περὶ ὀργῆς. ἐγὼ δὲ φιλοπλά- 644
κουντος ὢν οὐκ ἂν περιεῖδον τὸν θεῖον ἐκεῖνον ἐξυ-
βριζόμενον πλακοῦντα. μνημονεύων οὖν ὁ κωμικὸς
Πλάτων εἴρηκεν ἐν τῷ Ποιητῇ οὕτως

μόνος δ' ἄγευστος,
ἄσπλαγχνος ἐνιαυτίζομαι ἀπλάκουντος, ἀλιβάνωτος.

ἀλλὰ μὴν οὐδὲ τῆς κώμης ἀμνήμων εἰμί, ἣν Πλα-
κοῦντά φησι καλεῖσθαι Δημήτριος ὁ Σκήψιος ἐν δω-
δεκάτῳ Τρωικοῦ διακόσμου, τῶν ὑποπλακίων Θηβῶν
b φάσκων αὐτὴν ἀπέχειν σταδίους ἕξ. περισπαστέον
δὲ λέγοντας πλακοῦς τὴν ὀνομαστικήν· συνῄρηται
γὰρ ἐκ τοῦ πλακόεις, ὡς τυρόεις τυροῦς, σησαμόεις
σησαμοῦς. εἴρηται δὲ κατ' ἔλλειψιν τοῦ ἄρτος. ὅτι
δὲ καλοὺς πλακοῦντας ἐν Παρίῳ τοῦ Ἑλλησπόντου
φαγεῖν ἔστιν οἱ ἐπιδημήσαντες μαρτυρήσουσιν. Ἄλε-
ξις γὰρ πεπλάνηται λέγων τοὺς ἐκ Πάρου. λέγει δὲ
οὕτως ἐν τῷ ἐπιγραφομένῳ Ἀρχιλόχῳ

ὦ τὴν εὐτειχῆ ναίων Πάρον, ὄλβιε πρέσβυ,
ἣ κάλλιστα φέρει χώρα δύο τῶν συναπασῶν,
c κόσμον μὲν μακάρεσσι λίθον, θνητοῖς δὲ πλακοῦντας.

ὅτι δὲ καὶ οἱ Σάμιοι διαφέροντές εἰσι πλακοῦντες Σώπατρος ὁ φλυακογράφος φησὶν ἐν Βακχίδος μνηστῆρσι

πλακουντοποιὸν ὠνομασμένην Σάμον.

52. ἐγχύτων δὲ πλακούντων μνημονεύει Μένανδρος μὲν ἐν Ψευδηρακλεῖ

οὐκ ἔστι κανδύλους ποιεῖν οὐδ' οἷα σὺ
εἴωθας εἰς ταυτὸν καρυκεύειν, μέλι
d σεμίδαλιν ᾠά· πάντα γὰρ τἀναντία
νῦν ἐστιν· ὁ μάγειρος γὰρ ἐγχύτους ποιεῖ,
πλακοῦντας ὀπτᾷ, χόνδρον ἕψει καὶ φέρει
μετὰ τὸ τάριχος, εἶτα θρῖον καὶ βότρυς·
ἡ δημιουργὸς δ' ἀντιπαρατεταγμένη
κρεάδι' ὀπτᾷ καὶ κίχλας.

Εὐάγγελος δ' ἐν Ἀνακαλυπτομένῃ

τέτταρας ποιεῖν τραπέζας τῶν γυναικῶν εἶπά σοι,
ἓξ δὲ τῶν ἀνδρῶν, τὸ δεῖπνον δ' ἐντελὲς καὶ μηδενὶ
ἐλλιπές· λαμπροὺς γενέσθαι βουλόμεσθα τοὺς γάμους. e
οὐ παρ' ἑτέρου δεῖ πυθέσθαι, πάντα δ' αὐτόπτης ἐρῶ.
τῶν μὲν ἐλαῶν ἄφελε πάνθ' ὅσ' ἂν βούλῃ γένη·
εἰς δὲ τὰ κρέα μόσχον ἔλαβες δέλφακας χοίρους λαγώς·
Β. ὡς ἀλαζὼν ὁ κατάρατος. Α. θρῖα τυρὸν ἐγχύτους.
Β. παῖ Δρόμων. Α. κάνδυλον ᾠά τ' ἀμύλιον ...
τὸ πέρας ὕψος τῆς τραπέζης πήχεων ἔστω τριῶν,
ὥστε τὸν δειπνοῦντ' ἐπαίρειν, ἄν τι βούληται λαβεῖν. f

ΑΜΗΣ, πλακοῦντος γένος. Ἀντιφάνης ‘ἄμητες ἄμυλοι.’ Μένανδρος ἐν Ὑποβολιμαίῳ

τὸν ἄμητα, Χαίριππ', οὐκ ἐᾷς πέττειν τινά.

Ἴωνες δέ, ὥς φησι Σειληνὸς ἐν ταῖς Γλώσσαις, ἄμην αὐτὸν καλοῦσι καὶ τοὺς μικροὺς ἀμητίσκους. Τηλεκλείδης

ὀπταὶ δὲ κίχλαι μετ' ἀμητίσκων εἰς τὸν φάρυγ' εἰσεπέτοντο.

53. ΔΙΑΚΟΝΙΟΝ. Φερεκράτης

ὑπὸ τῆς ἀπληστίας 645
διακόνιον ἔπησθεν ἀμφιφῶντ' ἔχων.

ΑΜΦΙΦΩΝ, πλακοῦς Ἀρτέμιδι ἀνακείμενος, ἔχει δ' ἐν κύκλῳ καόμενα δᾳδία. Φιλήμων ἐν Πτωχῇ ἢ Ῥοδίᾳ

Ἄρτεμι, φίλη δέσποινα, τοῦτόν σοι φέρω,
ὦ πότνι᾽, ἀμφιφῶντα καὶ σπονδὴν ἅμα.

μνημονεύει δ᾽ αὐτοῦ καὶ Δίφιλος ἐν Ἑκάτῃ. Φιλόχορος δὲ ἀμφιφῶντα αὐτὸν κληθῆναι καὶ εἰς τὰ τῆς Ἀρτέμιδος ἱερὰ φέρεσθαι, ἔτι δὲ καὶ εἰς τὰς τριόδους, ἐπεὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐπικαταλαμβάνεται ἡ σελήνη
b ἐπὶ ταῖς δυσμαῖς ὑπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς καὶ ὁ οὐρανὸς ἀμφιφῶς γίνεται.

ΒΑΣΥΝΙΑΣ. Σῆμος ἐν δευτέρῳ Δηλιάδος ʽἐν τῇ τῆς Ἑκάτης (φησὶ) νήσῳ τῇ Ἴριδι θύουσι Δήλιοι τοὺς βασυνίας καλουμένους (ἔστι δὲ ἑφθὸν πύρινον σταῖς σὺν μέλιτι) καὶ τὰ καλούμενα κόκκωρα, ἰσχὰς καὶ κάρυα τρία.᾽

ΣΤΡΕΠΤΟΙ καὶ ΝΕΗΛΑΤΑ. τούτων μνημονεύει Δημοσθένης ὁ ῥήτωρ ἐν τῷ ὑπὲρ Κτησιφῶντος περὶ τοῦ στεφάνου.

ΕΠΙΧΥΤΩΝ Νικοφῶν ἐν Χειρογάστορσιν

c ἐγὼ μὲν ἄρτους μᾶζαν ἀθάρην ἄλφιτα
κόλλικας ὀβελίαν μελιτοῦτταν ἐπιχύτους
πτισάνην πλακοῦντας δενδαλίδας ταγηνίας.

Πάμφιλος δὲ τὸν ΑΤΤΑΝΙΤΗΝ καλούμενον ἐπίχυτόν φησι καλεῖσθαι. τοῦ δὲ ἀττανίτου Ἱππῶναξ ἐν τούτοις μνημονεύει

οὐκ ἀτταγᾶς τε καὶ λαγὼς καταβρύκων,
οὐ τηγανίτας σησάμοισι φαρμάσσων,
οὐκ ἀττανίτας κηρίοισιν ἐμβάπτων.

d ΚΡΗΙΟΝ. πλακοῦς ἄρτος, ὃν Ἀργεῖοι παρὰ τῆς νύμφης πρὸς τὸν νυμφίον φέρουσιν. ὀπτᾶται δ᾽ ἐν ἄνθραξι, καὶ καλοῦνται ἐπ᾽ αὐτὸν οἱ φίλοι, παρατίθεται δὲ μετὰ μέλιτος, ὥς φησι Φιλητᾶς ἐν Ἀτάκτοις.

ΓΛΥΚΙΝΑΣ. ὁ διὰ γλυκέος καὶ ἐλαίου πλακοῦς παρὰ Κρησίν, ὥς φησι Σέλευκος ἐν Γλώσσαις.

ΕΜΠΕΠΤΑΣ. ὁ αὐτός φησι ‘πύρινος ἄρτος κοῖλος καὶ σύμμετρος, ὅμοιος ταῖς λεγομέναις κρηπῖσιν, εἰς ἃς ἐντίθεται τὰ διὰ τοῦ τυροῦ σκευαζόμενα πλακούντια.’

54. ΕΓΚΡΙΔΕΣ. πεμμάτιον ἑψόμενον ἐν ἐλαίῳ e
καὶ μετὰ τοῦτο μελιτούμενον. μνημονεύει αὐτῶν Στησίχορος διὰ τούτων

χόνδρον τε καὶ ἐγκρίδας,
ἄλλα τε πέμματα καὶ μέλι χλωρόν.

μνημονεύει δ’ αὐτῶν καὶ Ἐπίχαρμος. Φερεκράτης δ’ ἐν Κραπατάλοις

ταῦτ’ ἔχων ἐν ταῖς ὁδοῖς ἁρπαζέτω τὰς ἐγκρίδας.

Ἀριστοφάνης δ’ ἐν Δαναίσι καὶ πωλητήν φησιν αὐτῶν εἶναι ἐν τούτοις ‘μὴ τἄρ’ εἶναι μ’ ἐγκριδοπώλην.’ καὶ ἐν τοῖς Χειρογάστορσι Νικοφῶν.

ΕΠΙΚΥΚΛΙΟΣ. πλακοῦς τις παρὰ Συρακοσίοις οὕτω καλούμενος. καὶ μέμνηται αὐτοῦ Ἐπίχαρμος ἐν f
Γᾷ καὶ Θαλάσσᾳ.

ΓΟΥΡΟΣ. ὅτι πλακοῦντος εἶδος ὁ Σόλων ἐν τοῖς ἰάμβοις φησί

πίνουσι καὶ τρώγουσιν οἱ μὲν ἴτρια
οἱ δ’ ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους
γούρους φακοῖσι. κεῖθι δ’ οὔτε πεμμάτων
ἄπεστιν οὐδέν, οὔθ’ ὅσ’ ἀνθρώποισι γῆ
φέρει μέλαινα· πάντα δ’ ἀφθόνως πάρα.

ΚΡΙΒΑΝΑΣ. πλακοῦντάς τινας ὀνομαστικῶς Ἀπολ- 646
λόδωρος παρ’ Ἀλκμᾶνι. ὁμοίως καὶ Σωσίβιος ἐν τρίτῳ περὶ Ἀλκμᾶνος, τῷ σχήματι μαστοειδεῖς εἶναι φάσκων αὐτούς, χρῆσθαι δ’ αὐτοῖς Λάκωνας πρὸς τὰς τῶν γυναικῶν ἑστιάσεις, περιφέρειν τε αὐτοὺς ὅταν μέλλωσιν ᾄδειν τὸ παρεσκευασμένον ἐγκώμιον τῆς παρθένου αἱ ἐν τῷ χορῷ ἀκόλουθοι.

ΚΡΙΜΝΙΤΗΣ. πλακοῦς ποιὸς διὰ κρίμνων γινόμενος, ὡς Ἰατροκλῆς ἐν τῷ περὶ πλακούντων ἀναγράφει.

b 55. ΣΤΑΙΤΙΤΑΣ, πλακοῦς ποιὸς ἐκ σταιτὸς καὶ μέλιτος. μνημονεύει Ἐπίχαρμος ἐν Ἥβας γάμῳ. σταῖς δ' ἐστὶν ὑγρὸν εἰς τήγανον ἐπιχεόμενον, μέλιτος ἐπιβαλλομένου καὶ σησάμης καὶ τυροῦ, ὡς Ἰατροκλῆς φησίν.

ΧΑΡΙΣΙΟΣ. τούτου μνημονεύει Ἀριστοφάνης ἐν Δαιταλεῦσιν

ἐγὼ δ' ἰὼν
πέμψω πλακοῦντ' εἰς ἑσπέραν χαρίσιον.

Εὔβουλος δ' ἐν Ἀγκυλίωνι ὡς περὶ ἄρτου αὐτοῦ ὄντος οὑτωσὶ λέγει

ἐξεπήδησ' ἀρτίως πέττουσα τὸν χαρίσιον.

c ΕΠΙΔΑΙΤΡΟΝ. πλακουντῶδες μαζίον ἐπὶ τῷ δείπνῳ ἐσθιόμενον, ὥς φησι Φιλήμων ἐν τῷ περὶ ἀττικῶν ὀνομάτων.

ΝΑΝΟΣ. ἄρτος πλακουντώδης διὰ τυροῦ καὶ ἐλαίου σκευαζόμενος.

ΨΩΘΙΑ τὰ ψαθύρια. Φερεκράτης Κραπατάλοις

λήψει δ' ἐν ᾅδου κραπάταλον τριωβόλου
καὶ ψωθία.

Ἀπολλόδωρος δὲ ὁ Ἀθηναῖος καὶ Θεόδωρος δ' ἐν Ἀττικαῖς γλώσσαις τοῦ ἄρτου τὰ ἀποψώμενα ψωθία καλεῖσθαι, ἃ τινὰς ὀνομάζειν ἀτταράγους.

d ΙΤΡΙΟΝ. πεμμάτιον λεπτὸν διὰ σησάμου καὶ μέλιτος γινόμενον. μνημονεύει αὐτοῦ Ἀνακρέων οὕτως

ἠρίστησα μὲν ἰτρίου λεπτὸν ἀποκλάς,
οἴνου δ' ἔπιον κάδον.

Ἀριστοφάνης Ἀχαρνεῦσι

πλακοῦντες σησαμοῦντες ἴτρια.

Σοφοκλῆς Ἔριδι

ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἴτρια βλέπω.

ΑΜΟΡΑΙ. τὰ μελιτώματα Φιλητᾶς ἐν Ἀτάκτοις ἀμόρας φησὶ καλεῖσθαι. μελιτώματα δ' ἐστὶ πεπεμμένα.

ΤΑΓΗΝΙΤΗΣ. πλακοῦς ἐν ἐλαίῳ τετηγανισμένος. e μνημονεύει Μάγνης ἢ ὁ ποιήσας τὰς εἰς αὐτὸν ἀναφερομένας κωμῳδίας ἐν Διονύσῳ δευτέρῳ

ταγηνίας ἤδη τεθέασαι χλιαροὺς
σίζοντας, ὅταν αὐτοῖσιν ἐπιχέῃς μέλι;

καὶ Κρατῖνος ἐν Νόμοις

καὶ δρόσον βάλλων ἕωθεν χλιαρὸς ταγηνίας.

ΕΛΑΦΟΣ. πλακοῦς ὁ τοῖς ἐλαφηβολίοις ἀναπλασσόμενος διὰ σταιτὸς καὶ μέλιτος καὶ σησάμου.

ΝΑΣΤΟΣ. πλακοῦντος εἶδος ἔχων ἔνδον καρυκείας.

56. ΧΟΡΙΑ. βρώματα διὰ μέλιτος καὶ γάλακτος γινόμενα.

ΑΜΟΡΒΙΤΗΣ. πλακοῦντος εἶδος παρὰ Σικελοῖς. f οἱ δὲ παισά, πλακούντια παρὰ Κῴοις, ὥς φησιν Ἰατροκλῆς.

ΣΗΣΑΜΙΔΕΣ. ἐκ μέλιτος καὶ σησάμων πεφρυγμένων καὶ ἐλαίου σφαιροειδῆ πέμματα. Εὔπολις Κόλαξιν

ὃς χαρίτων μὲν ὄζει,
καλλαβίδας δὲ βαίνει,
σησαμίδας δὲ χέζει,
μῆλα δὲ χρέμπτεται.

Ἀντιφάνης Δευκαλίωνι

σησαμίδας ἢ μελίπηκτον ἢ τοιοῦτό τι.

μνημονεύει αὐτῶν καὶ Ἔφιππος ἐν Κύδωνι· πρόκειται τὸ μαρτύριον.

ΜΥΛΛΟΙ. Ἡρακλείδης ὁ Συρακόσιος ἐν τῷ περὶ 647

*θεσμῶν ἐν Συρακούσαις φησὶ τοῖς παντελείοις τῶν θεσμοφορίων ἐκ σησάμου καὶ μέλιτος κατασκευάζεσθαι ἐφήβαια γυναικεῖα, ἃ καλεῖσθαι κατὰ πᾶσαν Σικελίαν μυλλοὺς καὶ περιφέρεσθαι ταῖς θεαῖς.*

ΕΧΙΝΟΣ. *Λυγκεὺς ὁ Σάμιος ἐν τῇ πρὸς Διαγόραν ἐπιστολῇ ἐκ παραλλήλου τιθεὶς τὰ κατὰ τὴν Ἀττικὴν* b *ἐξαιρέτως γινόμενα τοῖς ἐν τῇ Ῥόδῳ γράφει οὕτως 'τῇ δὲ περὶ τὸν ἄμητα δόξῃ τὸν καινὸν ἀνταγωνιστὴν ἐπὶ τῆς δευτέρας εἰσάγουσι τραπέζης ἐχῖνον. ὑπὲρ οὗ νῦν μὲν ἐπὶ κεφαλαίου, παραγινομένου δὲ σοῦ καὶ συντεθέντος κατὰ τοὺς ἐν Ῥόδῳ νόμους ἀναμασησάμενος πειράσομαι πλείω περιθεῖναι λόγον.'*

ΚΟΤΤΛΙΣΚΟΙ. *Ἡρακλέων ὁ Ἐφέσιος πλακοῦντάς τινάς φησιν οὕτω καλεῖσθαι τοὺς ἐκ τρίτου μέρους τῆς χοίνικος γινομένους.*

ΧΟΙΡΙΝΑΙ. *τούτων μνημονεύει Ἰατροκλῆς ἐν τῷ* c *περὶ πλακούντων καὶ τοῦ πυραμοῦντος καλουμένου, διαφέρειν λέγων τῆς πυραμίδος καλουμένης. γίνεσθαι γὰρ ταύτην ἐκ πυρῶν πεφωσμένων καὶ μέλιτι δεδευμένων. αὗται δὲ ἆθλα τίθενται ταῖς παννυχίσι τῷ διαγρυπνήσαντι.*

57. *Χρύσιππος δ' ὁ Τυανεὺς ἐν τῷ ἐπιγραφομένῳ Ἀρτοκοπικῷ εἴδη πλακούντων καὶ γένη τάδε ἀναγράφει 'τερεντῖνον, κρασσιανόν, τουτιανόν, σαβελλικόν, κλοῦστρον, ἰουλιανόν, ἀπικιανόν, κανωπικά, πελούκιδον, καππαδοκικόν, ἡδύβια, μαρυπτόν, πλίκιον, γουττᾶτον, μοντιανόν. τοῦτον, φησί, μάξεις ἐξ οἴνου σκληρόν· εἰ δέ σοι τυρίον παρέσται, ἥμισυ μάξεις ἐξ οἴνου καὶ ἥμισυ ἐκ τυροῦ· ἡδονικώτερον* d *γὰρ γίνεται. κλοῦστρον κυριανόν, κλοῦστρον τουττᾶτον, κλοῦστρον ταβωνιανόν. μουστάκια ἐξ οἰνομέλιτος, μουστάκια σησαμᾶτα, κλοῦστρον πούριον,*

γωσγλωάνιον, παυλιανόν. ἐκ τυροῦ δέ, φησί, γίνεται
πλακούντηρα τάδε, ἔγχυτος, σκριβλίτης, σουβίτυλλος.
γίνεται δὲ καὶ ἐξ ἄλικος σουβίτυλλος. σπεῖρα· καὶ
οὗτος ἐκ τυροῦ γίνεται. λούκουντλοι, ἀργυροτρύ-
φημα, λίβος, κίρκος, αἰξάφας, κλουστροπλακοῦς.
γίνεται δέ, φησί, καὶ ὀρυζίτης πλακοῦς. ὁ δὲ φθοῖς
οὕτω γίγνεται· τυρὸν ἐκπιέσας τρῖβε, καὶ ἐμβαλὼν ἐς
κόσκινον χάλκεον διήθει, εἶτ᾽ ἐπίβαλε μέλι καὶ σιλί- e
γνεως ἡμίναν καὶ συμμάλαξον εἰς ἕν. κάτιλλος δὲ
ὀρνᾶτος ὁ λεγόμενος παρὰ Ῥωμαίοις οὕτω γίγνεται·
θρίδακας πλύνας ξέσον, καὶ ἐμβαλὼν οἶνον εἰς θυείαν
τρῖβε τὰς θρίδακας, εἶτα τὸν χυλὸν ἐκπιέσας σι-
λίγνιον συμφύρασον αὐτῷ, καὶ συμπεσεῖν ἐάσας μετ᾽
ὀλίγον τρῖψον εὐτόνως προσβαλὼν ὀλίγον στέατος
χοιρείου καὶ πέπερι, καὶ πάλιν τρίψας ἕλκυσον λάγα-
νον, καὶ λειάνας ἐκτεμὼν κατάτεμνε, καὶ ἕψε εἰς
ἔλαιον θερμότατον εἰς ἠθμὸν βαλὼν τὰ κατακεκομ-
μένα. ἄλλα πλακούντων γένη· ὀστρακίτης, ἀτταNῖ- f
ται, ἄμυλον, τυροκόσκινον. τυρὸν ἐκπιέσας καλῶς
θὲς εἰς ἄγγος, εἶτ᾽ ἄνω κόσκινον χαλκοῦν ἐπιθεὶς
δίαγε τὸν τυρόν. ὅταν δὲ μέλλῃς προσφέρειν, βάλε
μέλιτος αὔταρκες ἐπάνω. ὑποτυρίδες δὲ οὕτω γίνον-
ται· εἰς γάλα βαλὼν μέλι ἐκπίεσον καὶ βάλε εἰς
σκεῦος καὶ ἔα παγῆναι. ἐὰν δέ σοι παρῇ κοσκίνια
μικρά, ἐπίβαλε εἰς αὐτὰ τὸ σκεῦος, καὶ ἔα ἐκρεῖν τὸν
ὀρόν: καὶ ὅταν σοὶ δόξῃ πεπηγέναι, ἄρας τὸ σκεῦος
μετάβαλε εἰς ἀργύρωμα, καὶ ἔσται ἡ ὄψις ἄνωθεν.
ἐὰν δὲ μὴ ᾖ κοσκίνια, φλαβιλλίοις καινοῖς χρῶ, ἐν
οἷς τὸ πῦρ ῥιπίζεται· τὴν γὰρ αὐτὴν ποιεῖ χρείαν.
κοπτοπλακοῦς. ἐν Κρήτῃ δέ, φησί, πλακούντηρον
ποιοῦσιν, ὅπερ ὀνομάζουσι γάστριν, γίνεται δὲ οὕτως·
κάρυα θάσια καὶ ποντικὰ καὶ ἀμύγδαλα, ἔτι δὲ μή-

κωνα, ὃν φρύξας θεράπευσον καλῶς, καὶ εἰς θυείαν 648 καθαρὰν τρῖψον ἐπιμελῶς· συμμίξας τε τὴν ὀπώραν μᾶξον μέλιτι ἡψημένῳ προσβαλὼν πέπερι πλέον καὶ μάλαξον· γίνεται δὲ μέλαν διὰ τὴν μήκωνα. διαπλατύνας ποίησον τετράγωνον. εἶτα σήσαμον λευκὸν τρίψας μάλαξον μέλιτι ἡψημένῳ, καὶ ἕλκυσον λαγάνια δύο, καὶ ἓν θὲς ὑποκάτω, καὶ τὸ ἄλλο ἐπάνω, ἵνα τὸ μέλαν εἰς μέσον γένηται, εὖ ῥύθμισόν τε αὐτό.' ταῦτα καὶ ὁ σοφὸς πεμματολόγος Χρύσιππος.

b 58. Ἁρποκρατίων δὲ ὁ Μενδήσιος ἐν τῷ περὶ πλακούντων τὴν παρὰ Ἀλεξανδρεῦσι καλουμένην παγκαρπίαν καλεῖ. ἴτρια δ' ἐστὶ ταῦτα συντεθρυμμένα μετὰ μέλιτος ἑψόμενα· καὶ μετὰ τὴν ἕψησιν σφαιρηδὸν συντεθέντα περιδεῖται βύβλῳ λεπτῇ ἕνεκα τοῦ συμμένειν. πόλτου δὲ μνημονεύει Ἀλκμὰν οὕτως

ἤδη παρέξει πυάνιόν τε πόλτον
χῖδρον τε λευκὸν κηρίναν τ' ὀπώραν.

ἐστὶ δὲ τὸ πυάνιον, ὥς φησι Σωσίβιος, πανσπερμία ἐν γλυκεῖ ἡψημένη· χῖδρον δὲ οἱ ἑφθοὶ πυροί. κηρίναν δὲ ὀπώραν λέγει τὸ μέλι. καὶ Ἐπίχαρμος δὲ c οὕτως λέγει ἐν Γᾷ καὶ Θαλάσσᾳ 'πόλτον ἕψειν ὄρθριον.' καὶ τῶν καλουμένων δὲ μελικηρίδων μνημονεύει Φερεκράτης ἐν Αὐτομόλοις οὕτως

ὥσπερ τῶν αἰγιδίων ὄζειν ἐκ τοῦ στόματος μελικήρας.

59. λεχθέντων καὶ τούτων ὁ σοφὸς Οὐλπιανὸς ἔφη, πόθεν ὑμῖν, ὦ πολυμαθέστατοι γραμματικοί, καὶ ἐκ ποίας βιβλιοθήκης ἀνεφάνησαν οἱ σεμνότατοι οὗτοι συγγραφεῖς, Χρύσιππος καὶ Ἁρποκρατίων, διαβάλλοντες καλῶν ὀνόματα φιλοσόφων τῇ ὁμωνυμίᾳ; τίς δὲ καὶ ἡμίναν Ἑλλήνων ὠνόμασεν; ἢ τίς d ἀμύλου μνημονεύει; ἀπαντήσαντος δὲ αὐτῷ τοῦ Λα-

ρησίου καὶ εἰπόντος, τὴν μὲν ἡμίναν οἱ τὰ εἰς Ἐπίχαρμον ἀναφερόμενα ποιήματα πεποιηκότες οἴδασι, κἀν τῷ Χείρωνι ἐπιγραφομένῳ οὕτω λέγεται

καὶ πιεῖν ὕδωρ διπλάσιον χλιαρόν, ἡμίνας δύο.

τὰ δὲ ψευδεπιχάρμεια ταῦτα ὅτι πεποιήκασιν ἄνδρες ἔνδοξοι, Χρυσόγονός τε ὁ αὐλητής, ὥς φησιν Ἀριστόξενος ἐν ὀγδόῳ πολιτικῶν νόμων, τὴν Πολιτείαν ἐπιγραφομένην· Φιλόχορος δ' ἐν τοῖς περὶ μαντικῆς Ἀξιόπιστον τὸν εἴτε Λοκρὸν γένος ἢ Σικυώνιον τὸν Κανόνα καὶ τὰς Γνώμας πεποιηκέναι φησίν. ὁμοίως δὲ ἱστορεῖ καὶ Ἀπολλόδωρος. τοῦ δὲ ἀμύλου μνημο- e
νεύει Τηλεκλείδης ἐν Στερροῖς οὑτωσὶ λέγων

φιλῶ πλακοῦντα θερμόν, ἀχράδας οὐ φιλῶ·
χαίρω λαγῴοις ἐπ' ἀμύλῳ καθημένοις.

60. τούτων ἀκούσας ὁ Οὐλπιανὸς ἔφη, ἀλλ' ἐπειδὴ καὶ κοπτήν τινα καλεῖτε, ὁρῶ δὲ ἑκάστῳ κειμένην ἐπὶ τῆς τραπέζης, λέγετε ἡμῖν, ὦ λίχνοι, τίς τοῦ ὀνόματος τούτου τῶν ἐνδόξων μνημονεύει. καὶ ὁ Δημόκριτος ἔφη, τὸ μὲν θαλάσσιον πράσον κόπτην φησὶ καλεῖσθαι Διονύσιος ὁ Ἰτυκαῖος ἐν ἑβδόμῳ Γεωργικῶν. τοῦ δὲ ἡμῖν παρακειμένου μελιπήκτου f
μέμνηται Κλέαρχος ὁ Σολεὺς ἐν τῷ περὶ γρίφων οὑτωσὶ λέγων· σκεύη κελεύοντα λέγειν ὅμοια εἰπεῖν

τρίπους χύτρα λυχνεῖον ἀκταία βάθρον
σπόγγος λέβης σκαφεῖον ὅλμος λήκυθος
σπυρὶς μάχαιρα τρύβλιον κρατὴρ ῥαφίς.

καὶ πάλιν ὄψων οὕτως

ἔτνος φακῆ τάριχος ἰχθὺς γογγυλὶς
σκόροδον κρέας θύννειον ἅλμη κρόμμυον 649
σκόλυμος ἐλαία κάππαρις βολβὸς μύκης.

ἔτι τε τῶν τραγημάτων ὁμοίως

ἄμης πλακοῦς ἔντιλτος ἴτριον ῥόα

ᾠὸν ἐρέβινθος σησάμη κοπτὴ βότρυς
ἰσχὰς ἄπιος πέρσεια μῆλ' ἀμύγδαλα.'

ταῦτα μὲν ὁ Κλέαρχος. ὁ δὲ φλυακογράφος Σώπατρος ἐν τῷ ἐπιγραφομένῳ Πύλαι δράματί φησι

τίς δ' ἀναρίθμου μήκωνος εὗρε κοπτάς,
ἢ κνηκοπύρους ἡδονὰς τραγημάτων ἔμιξεν;

ἀπέχεις, ὦ καλέ μου λογιστὰ Οὐλπιανέ, τὴν κοπτήν·
b ἧς συμβουλεύω σοι ἀπεσθίειν. καὶ ὃς οὐδὲν μελλήσας ἀνελόμενος ἤσθιε. γελασάντων δὲ πάντων ἔφη ὁ Δημόκριτος, ἀλλ' οὐκ ἐσθίειν σε προσέταξα, καλὲ ὀνοματοθήρα, ἀλλὰ μὴ ἐσθίειν. τὸ γὰρ ἀπεσθίειν οὕτως εἴρηκεν ἐν Φινεῖ ὁ κωμῳδιοποιὸς Θεόπομπος

παῦσαι κυβεύων, μειράκιον, καὶ τοῖς βλίτοις
διαχρῶ τὸ λοιπόν. κοιλίαν σκληρὰν ἔχεις,
τὰ πετραῖα τῶν ἰχθυδίων ἀπέσθιε.
ἡ τρὺξ ἄριστόν ἐστιν εἰς εὐβουλίαν.
ταῦτ' ἢν ποιῇς, ῥᾴων ἔσει τὴν οὐσίαν.

c χρῶνται δὲ τῷ ἀπεσθίειν καὶ ἀντὶ τοῦ ἀπό τινος ἐσθίειν, ὡς Ἕρμιππος ἐν Στρατιώταις

οἴμοι τάλας, δάκνει δάκνει,
ἀπεσθίει μου τὴν ἀκοήν.

61. ἐπὶ τούτῳ ἐλεγχθεὶς ὁ Σύρος καὶ δηχθεὶς σφόδρα, ἀλλὰ μήν, ἔφη, παράκειται ἡμῖν ἐπὶ τῆς τραπέζης καὶ ψιττάκια· ἅπερ ἢν εἴπῃς παρὰ τίνι κεῖται, δώσω σοι οὐ χρυσέους δέκα στατῆρας κατὰ τὸν Ποντικὸν λεσχηνευτήν, ἀλλὰ τουτὶ τὸ ἔκπωμα. σιωπήσαντος δὲ τοῦ Δημοκρίτου, ἀλλ' ἐπεὶ ἀπορεῖς, ἔφη, ἐγώ σε διδάξω. Νίκανδρος μὲν ὁ Κολοφώνιος
d ἐν τοῖς Θηριακοῖς μνημονεύων αὐτῶν φησί

φιττάκι' ἀκρεμόνεσσιν ἀμυγδαλέοισιν ὅμοια.

γράφεται δὲ καί

βιστάκια . . . ἀμυγδαλόεντα πέφανται.

καὶ Ποσειδώνιος δὲ ὁ ἀπὸ τῆς στοᾶς ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν γράφει οὕτως ‘φέρει δὲ καὶ τὸ πέρσειον ἡ Ἀραβία καὶ ἡ Συρία καὶ τὸ καλούμενον βιστάκιον· ὃ δὴ καὶ βοτρυώδη τὸν καρπὸν ἀφίησι λευκόφλοιον ὄντα καὶ μακρόν, παρεμφερῆ τοῖς δακρύοις, ἃ δὴ ῥαγῶν τρόπον ἀλλήλοις ἐπιβάλλει· τὰ δ' ἔνδον ἔγχλωρον, καὶ τοῦ κωνίου τῶν στροβίλων ἧττον μὲν εὔχυμον, εὐώδη δὲ μᾶλλον.’ οἱ δὲ τὰ γεωργικὰ συγγράψαντες ἀδελφοὶ ἐν τῷ τρίτῳ γράφουσιν οὕτως ‘καὶ e τὴν μελίαν καὶ τὴν τέρμινθον, ἃ δὴ νῦν πιστάκια οἱ Σύροι καλοῦσιν.’ καὶ οὗτοι μὲν διὰ τοῦ π πιστάκια ταῦτα ὠνόμασαν, ὁ δὲ Νίκανδρος δασέως φιττάκια· Ποσειδώνιος δὲ βιστάκια.

62. περιβλέψας οὖν ἐν τούτοις τοὺς παρόντας καὶ τυχὼν ἐπαίνου, ἀλλὰ μὴν καὶ περὶ τῶν ἄλλων πάντων τῶν παρακειμένων λελέξεταί μοι, ἵνα με τῆς πολυμαθίας ἀγασθῆτε· ἐρῶ δὲ πρότερον περὶ τῶν παρὰ Ἀλεξανδρεῦσι καλουμένων κοννάρων καὶ παλιούρων. μνημονεύει δὲ αὐτῶν Ἀγαθοκλῆς ὁ Κυζι- f κηνὸς ἐν τρίτῃ τῶν περὶ τῆς πατρίδος λέγων οὕτως ‘κεραυνοῦ δὲ σκήψαντος ἐς τὸν τάφον ἀνεβλάστησε ἐκ τοῦ σήματος δενδρίον, ὃ ἐκεῖνοι κόνναρον ἐπονομάζουσι. ἔστι δὲ τὸ δενδρίον τῷ μεγέθεϊ μὲν πτελέης καὶ πεύκης οὐδέν τι μεῖον. ἀκρέμονας δ' ἔχει θαμέας καὶ δολιχοὺς καὶ ἐπ' ὀλίγον ἀκανθώδεας, τὸ δὲ φύλλον τέρεν καὶ χλωρόν, τῇ φυῇ περιφερές. καρποφορέει δὲ δὶς τοῦ ἔτεος, ἦρός τε καὶ φθινοπώρου. 650 γλυκὺς δὲ πάνυ ὁ καρπός, μέγεθος κατὰ φαυλίην ἐλαίην καὶ τὴν σάρκα καὶ τὸ ὀστέον ταύτῃ προσείκελον, διαλλάσσον δὲ τῇ τοῦ χυμοῦ ἡδονῇ. καὶ τρώγεται ἔτι χλωρὸς ὁ καρπός· καὶ ἐπὴν αὐανθῇ, ποιοῦσι ἐξ αὐτοῦ ἄλευρα καὶ πατέονται ταῦτα, οὐ μάξαντες

*οὐδ᾽ ὕδατι δεύοντες, ἀλλὰ φαύλως ὁκοῖά περ πέφυκε.᾽ καὶ Εὐριπίδης ἐν Κύκλωπί φησι ῾παλιούρου κλάδῳ.᾽ Θεόπομπος δ᾽ ἐν εἰκοστῇ πρώτῃ Φιλιππικῶν* b *μνημονεύει αὐτῶν, καὶ Δίφιλος ὁ Σίφνιος ἰατρὸς ἐν τῷ περὶ τῶν προσφερομένων τοῖς ὑγιαίνουσι καὶ τοῖς νοσοῦσι. τούτων δὲ πρῶτον ἐμνήσθην, ἄνδρες φίλοι, οὐχ ὅτι ἡμῖν παράκειται νῦν, ἀλλ᾽ ὅτι πολλάκις ἐν τῇ καλῇ Ἀλεξανδρείᾳ ἐπὶ τῶν δευτέρων τραπεζῶν παρακείμενα ἔλαβον, καὶ ζητηθέντος ἐκεῖ τοῦ ὀνόματος ἐνθάδε τῷ βιβλίῳ ἐντυχὼν ἀνελεξάμην.*

63. *ἑξῆς οὖν λέξω περὶ τῶν παρακειμένων ἀπίων· ἐπεὶ ἀπ᾽ αὐτῶν καὶ ἡ Πελοπόννησος Ἀπία ἐκλήθη,* c *διὰ τὸ ἐπιδαψιλεύειν ἐν αὐτῇ τὸ φυτόν, φησὶν Ἴστρος ἐν τοῖς Ἀργολικοῖς. ὅτι δὲ τὰς ἀπίους ἐν ὕδατι εἰσέφερον εἰς τὰ συμπόσια Ἄλεξις ἐν Βρεττίᾳ παρίστησι διὰ τούτων*

*εἶδές ποτε*
*πεινῶσιν ἀνθρώποις ἀπίους παρακειμένας*
*ἐν ὕδατι πολλῷ; Β. πολλάκις δήπου. τί οὖν;*
*Α. οὐκοῦν ἕκαστος ἐκλεγόμενος λαμβάνει*
*τῶν ἐπινεουσῶν τὴν πεπαιτάτην ἀεί;*
*Β. δῆλον ὅτι.*

*αἱ δ᾽ ἀμαμηλίδες οὐκ εἰσὶν ἄπιοι, ὥς τινες οἴονται,* d *ἀλλ᾽ ἕτερόν τι καὶ ἥδιον καὶ ἀπύρηνον. Ἀριστομένης ἐν Διονύσῳ φησίν*

*ὁ Χῖος οὐκ οἶσθ᾽ ὡς ἁμαμηλίδας ποιεῖ;*

*ὅτι δ᾽ ἐστὶν ἕτερον τῆς ἀπίου καὶ ἥδιον Αἰσχυλίδης παρίστησιν ἐν τρίτῳ Γεωργικῶν. περὶ Κέω γοῦν τῆς νήσου λέγων γράφει οὕτως ῾ἀπίους ἡ νῆσος φέρει κρατίστας, κατὰ τὰς ἐν Ἰωνίᾳ καλουμένας ἁμαμηλίδας· εἰσὶ γὰρ ἀπύρηνοί τε καὶ ἡδεῖαι καὶ γλυκεῖαι.᾽ Ἀέθλιος δ᾽ ἐν πέμπτῳ Ὥρων Σαμίων, εἰ γνήσια τὰ*

συγγράμματα, ὁμομηλίδας αὐτὰς καλεῖ. Πάμφιλος δ' e ἐν τοῖς περὶ γλωσσῶν καὶ ὀνομάτων 'ἐπιμηλὶς (φησὶν) ἀπίου γένος.' Ἀντιφῶν δ' ἐν τῷ περὶ γεωργικῶν φωκίδας φησὶν εἶδος ἀπίων εἶναι.

64. . . . ῥοῶν δὲ σκληροκόκκων. τῶν γὰρ ἀπυρήνων Ἀριστοφάνης ἐν Γεωργοῖς μνημονεύει. καὶ ἐν Ἀναγύρῳ 'πλὴν ἀλεύρου καὶ ῥόας.' καὶ ἐν Γηρυτάδῃ. Ἕρμιππος δ' ἐν Κέρκωψί φησιν

ἤδη τεθέασαι κόκκον ἐν χιόνι ῥόας;

ῥοίδιον μέντοι ὡς βοίδιον τὸ ὑποκοριστικόν. Ἀντιφάνης ἐν Βοιωτίᾳ

ἐνεγκεῖν ἐξ ἀγροῦ μοι τῶν ῥοῶν
τῶν σκληροκόκκων.

Ἐπίλυκος Κωραλίσκῳ 'μῆλα καὶ ῥόας λέγεις.' Ἄλεξις Ἑλένης μνηστῆρσι

ῥόαν γὰρ ἐκ τῆς χειρὸς αὐτῶν.

σίδας δὲ ὅτι τὰς ῥοιὰς καλοῦσι Βοιωτοὶ Ἀγαθαρχίδης f ἐν τῇ ἐννεακαιδεκάτῃ τῶν Εὐρωπιακῶν οὕτως γράφει 'ἀμφισβητούντων Ἀθηναίων πρὸς Βοιωτοὺς περὶ τῆς χώρας, ἣν καλοῦσι Σίδας, Ἐπαμινώνδας δικαιολογούμενος ἐξαίφνης ἐκ τῆς ἀριστερᾶς μεταλαβὼν κεκρυμμένην ῥόαν καὶ δείξας ἤρετο αὐτοὺς τί καλοῦσι τοῦτο. τῶν δ' εἰπόντων ῥόαν, ἀλλ' ἡμεῖς, εἶπε, σίδαν. ὁ δὲ τόπος τοῦτ' ἔχει τὸ φυτὸν ἐν αὑτῷ πλεῖ- 561 στον, ἀφ' οὗ τὴν ἐξ ἀρχῆς εἴληφε προσηγορίαν, καὶ ἐνίκησε.' Μένανδρος δ' ἐν Ἑαυτὸν τιμωρουμένῳ ῥοίδια αὐτὰς ὠνόμασε διὰ τούτων

μετ' ἄριστον γὰρ ὡς ἀμυγδάλας ἐγὼ
παρέθηκα καὶ τῶν ῥοιδίων ἐτρώγομεν.

λέγεται δέ τι καὶ φυτὸν σίδη ὅμοιον ῥοιᾷ, γινόμενον ἐν τῇ περὶ Ὀρχομενὸν λίμνῃ ἐν αὐτῷ τῷ ὕδατι, οὗ τὰ μὲν φύλλα τὰ πρόβατα ἐσθίει, τὸν δὲ βλαστὸν αἱ ὕες,

ὡς ἱστορεῖ Θεόφραστος ἐν τετάρτῳ περὶ φυτῶν, γίνε-
b σθαι λέγων κἀν τῷ Νείλῳ ὁμώνυμόν τι αὐτῇ ἄνευ
ῥιζῶν.

65. φοίνικες. Ξενοφῶν μὲν ἐν δευτέρῳ Ἀναβά-
σεώς φησιν 'ἐν δὲ σῖτος πολὺς καὶ οἶνος φοινίκων καὶ
ὄψον καὶ ἑψητὸν ἀπὸ τῶν αὐτῶν. αὗται δὲ αἱ βάλα-
νοι τῶν φοινίκων οἵας μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν
ἰδεῖν τοῖς οἰκέταις ἀπέκειντο· αἱ δὲ τοῖς δεσπόταις
ἀποκείμεναι ἦσαν ἀπόλεκτοι, θαυμάσιοι τὸ κάλλος
καὶ τὸ μέγεθος, ἡ δὲ ὄψις ἠλέκτρου οὐδὲν διέφερε·
τὰς δέ τινας ξηραίνοντες τραγήματα παρετίθεντο.
καὶ ἦν παρὰ πότον ἡδὺ μέν, κεφαλαλγὲς δέ.' Ἡρό-
c δοτος δ' ἐν τῇ πρώτῃ περὶ Βαβυλῶνος λέγων φησίν
'εἰσὶ δὲ αὐτόθι φοίνικες πεφυκότες ἀνὰ πᾶν τὸ πε-
δίον, οἱ πλεῦνες αὐτῶν καρποφόροι· ἐκ τῶν καὶ σι-
τία καὶ οἶνον καὶ μέλι ποιέονται· τοὺς συκέων τρόπον
θεραπεύουσι. τῶν γὰρ φοινίκων οὓς ἔρσενας κα-
λέουσι, τοῦτον τὸν καρπὸν περιδέουσι τῇσι βαλανη-
φόροισι τῶν φοινίκων, ἵνα τε πεπαίνῃ σφιν ὁ ψὴν
τὴν βάλανον ἐνδύνων καὶ μὴ ἀπορρείῃ ὁ καρπὸς τοῦ
φοίνικος. ψῆνας γὰρ δὴ φορέουσιν ἐν τῷ καρπῷ οἱ
ἔρσενες, καθάπερ οἱ ὄλονθοι.' τὰ παραπλήσια τοῖς
d περὶ τὸν Ἡρόδοτον ἱστορεῖ περὶ τοῦ ἐν Λιβύῃ καλου-
μένου λωτοῦ αὐτόπτης γενόμενος ὁ Μεγαλοπολίτης
Πολύβιος ἐν τῇ δωδεκάτῃ τῶν ἱστοριῶν λέγων οὕτως
'ἔστι δὲ τὸ δένδρον ὁ λωτὸς οὐ μέγα, τραχὺ δὲ καὶ
ἀκανθῶδες, ἔχει δὲ φύλλον χλωρὸν παραπλήσιον τῇ
ῥάμνῳ, μικρὸν βαθύτερον καὶ πλατύτερον. ὁ δὲ καρ-
πὸς τὰς μὲν ἀρχὰς ὅμοιός ἐστι καὶ τῇ χρόᾳ καὶ τῷ
μεγέθει ταῖς λευκαῖς μυρτίσι ταῖς τετελειωμέναις·
αὐξανόμενος δὲ τῷ μὲν χρώματι γίνεται φοινικοῦς,
τῷ δὲ μεγέθει ταῖς γογγύλαις ἐλαίαις παραπλήσιος,

πυρῆνα δὲ ἔχει τελέως μικρόν. ἐπὰν δὲ πεπανθῇ, e
συνάγουσι· καὶ τὸν μὲν τοῖς οἰκέταις μετὰ χόνδρου κόψαντες σάττουσιν εἰς ἀγγεῖα· τὸν δὲ τοῖς ἐλευθέροις, ἐξελόντες τὸν πυρῆνα, συντιθέασιν ὡσαύτως, καὶ σιτεύονται τοῦτον. ἔστι δὲ τὸ βρῶμα παραπλήσιον σύκῳ καὶ φοινικοβαλάνῳ, τῇ δὲ εὐωδίᾳ βέλτιον. γίνεται δὲ καὶ οἶνος ἐξ αὐτοῦ βρεχομένου καὶ τριβομένου δι' ὕδατος κατὰ μὲν τὴν γεῦσιν ἡδὺς καὶ ἀπολαυστικός, οἰνομέλιτι χρηστῷ παραπλήσιος, ᾧ χρῶνται χωρὶς ὕδατος· οὐ δύναται δὲ πλέον δέκα μένειν ἡμερῶν, διὸ καὶ ποιοῦσι κατὰ βραχὺ πρὸς τὴν χρείαν. f
ποιοῦσι δὲ καὶ ὄξος ἐξ αὐτῶν.'

66. Μελανιππίδης δ' ὁ Μήλιος ἐν ταῖς Δαναΐσι φοίνικας τὸν καρπὸν οὕτως ὀνομάζει τὸν λόγον ποιούμενος περὶ αὐτῶν τῶν Δαναΐδων

οὐ γὰρ ἀνθρώπων φόρευν μορφᾶεν εἶδος·
οὐδὲ τὰν αὐτὰν γυναικείαν ἔχον·
ἀλλ' ἐν ἁρμάτεσσι διφρούχοις ἐγυμνάζοντ' ἀν' εὔδι' ἄλσεα
πολλάκις θήραις φρένα τερπόμεναι,
ἱερόδακρυν λίβανον εὐώδεις τε φοίνικας κασίαν τε πατεῦσαι
τέρενα σύρια στέρματα.

καὶ Ἀριστοτέλης ἐν τῷ περὶ φυτῶν οὕτως 'φοινίκων 652
ἀνόρχων, οὕς τινες εὐνούχους καλοῦσιν, οἱ δὲ ἀπυρήνους.' φοίνικα δὲ τὸν καρπὸν καὶ Ἑλλάνικος κέκληκεν ἐν τῇ εἰς Ἄμμωνος ἀναβάσει, εἰ γνήσιον τὸ σύγγραμμα, καὶ Φόρμος ὁ κωμικὸς ἐν Ἀταλάνταις. περὶ δὲ τῶν νικολάων καλουμένων φοινίκων τοσοῦτον ὑμῖν εἰπεῖν ἔχω, τῶν ἀπὸ τῆς Συρίας καταγομένων, ὅτι ταύτης τῆς προσηγορίας ἠξιώθησαν ὑπὸ τοῦ σεβαστοῦ αὐτοκράτορος σφόδρα χαίροντος τῷ βρώ-

ματι, Νικολάου τοῦ Δαμασκηνοῦ ἑταίρου ὄντος αὐτῷ
b καὶ πέμποντος φοίνικας συνεχῶς. τῶν ἀπὸ τοῦ περι-
πάτου δ' ὢν ὁ Νικόλαος καὶ ἱστορίαν συνέγραψε
πολλήν.

67. ἰσχάδες. σφόδρα τῶν ἰσχάδων ἐθαυμάζοντο
αἱ Ἀττικαί. Δείνων γοῦν ἐν τοῖς Περσικοῖς φησί
'παρετίθεντο δ' ἐπὶ τῆς τραπέζης τῆς βασιλέως ὅσα ἡ
γῆ βρώματα φέρει ἧς ἄρχει βασιλεύς, ἀφ' ἑκάστου
ὅσον ἀπαρχήν. ξενικῷ δὲ οὐδενὶ οὔτε βρώματι οὔτε
ποτῷ ᾤετο δεῖν ὁ Ξέρξης τοὺς βασιλεῖς χρῆσθαι·
ὅθεν καὶ νόμος τις ὕστερον ἐγένετο. εἰσενέγκαντος
c γάρ ποτε τῶν εὐνούχων τινὸς ἐν τοῖς λοιποῖς τραγή-
μασιν ἰσχάδας ἀττικάς, ἐρωτῆσαι ποδαπαὶ εἶεν. ἐπεὶ
δὲ ἐπύθετο ἐξ Ἀθηνῶν, τοῖς ἀγορασταῖς ἐκέλευεν
ὠνεῖσθαι, ἕως ἂν ἐξουσία γένηται αὐτῷ λαμβάνειν
ὅταν ἐθέλῃ καὶ μὴ ἀγοράζειν. λέγεται δὲ τὸν εὐνοῦ-
χον ἐπίτηδες τοῦτο ποιῆσαι, ἵνα αὐτὸν ὑπομνήσῃ τῆς
ἐπὶ τὰς Ἀθήνας στρατείας.' Ἄλεξις δ' ἐν Κυβερνήτῃ
φησίν

εἰσέβαινον ἰσχάδες,
τὸ παράσημον τῶν Ἀθηνῶν, καὶ θύμου δέσμαι τινές.

Λυγκεὺς δ' ἐν τῇ πρὸς τὸν κωμικὸν Ποσείδιππον
d ἐπιστολῇ 'ἐν τοῖς τραγικοῖς (φησὶ) πάθεσιν Εὐριπίδην
νομίζω Σοφοκλέους οὐδὲν διαφέρειν, ἐν δὲ ταῖς
ἰσχάσι τὰς ἀττικὰς τῶν ἄλλων πολὺ προέχειν.' κἀν
τῇ πρὸς Διαγόραν δὲ ἐπιστολῇ γράφει οὕτως 'ἡ δὲ γῆ
ταῖς μὲν χελιδονείαις ἰσχάσιν ἀντιπαρατιθεῖσα τὰς
βριγινδαρίδας καλουμένας, τῷ μὲν ὀνόματι βαρβαρι-
ζούσας ταῖς δὲ ἡδοναῖς οὐδὲν ἧττον ἐκείνων ἀττικι-
ζούσας.' Φοινικίδης δ' ἐν Μισουμένῃ φησί

μύρτων λέγουσι καὶ μέλιτος ἐγκώμια

καὶ τῶν προπυλαίων καὶ τέταρτον ἰσχάδων. e
τούτων ἐγευσάμην καταπλεύσας εὐθέως.
Β. καὶ τῶν προπυλαίων; Α. κοὐδὲν ἦν τούτων ὅλως
πρὸς ἀτταγῆνα συμβαλεῖν τῶν βρωμάτων.

ἐν τούτοις τηρητέον καὶ τὴν τοῦ ἀτταγῆνος μνήμην. Φιλήμων δ' ἐν τῷ περὶ τῶν Ἀττικῶν ὀνομάτων αἰγιλίδας φησὶν εἶναι τὰς καλλίστας ἰσχάδας· Αἴγιλα δ' εἶναι δῆμον τῆς Ἀττικῆς ἀπὸ Αἰγίλου τινὸς ἥρωος ὠνομασμένον, χελιδονίας τε καλεῖσθαι τὰς ἐρυθρο- f
μελαίνας ἰσχάδας.' Θεόπομπος δ' Εἰρήνῃ τὰς τιθρασίας ἐπαινῶν ἰσχάδας φησὶν οὕτως

μᾶζαι πλακοῦντες ἰσχάδες τιθράσιαι.

οὕτω δὲ ἦσαν περισπούδαστοι πᾶσιν ἀνθρώποις αἱ ἰσχάδες (ὄντως γὰρ κατὰ τὸν Ἀριστοφάνην

οὐδὲν γὰρ ὄντως γλυκύτερον τῶν ἰσχάδων)

ὡς καὶ Ἀμιτροχάτην τὸν τῶν Ἰνδῶν βασιλέα γράψαι Ἀντιόχῳ ἀξιοῦντα (φησὶν Ἡγήσανδρος) πέμψαι αὐτῷ γλυκὺν καὶ ἰσχάδας καὶ σοφιστὴν ἀγοράσαντα, καὶ 653
τὸν Ἀντίοχον ἀντιγράψαι 'ἰσχάδας μὲν καὶ γλυκὺν ἀποστελοῦμέν σοι, σοφιστὴν δ' ἐν Ἕλλησιν οὐ νόμιμον πωλεῖσθαι.' ὅτι δὲ καὶ πεφωγμένας ἰσχάδας ἤσθιον Φερεκράτης δείκνυσιν ἐν Κοριαννοῖ λέγων οὕτως

ἀλλ' ἰσχάδας μοι πρόελε τῶν πεφωγμένων.

καὶ μετ' ὀλίγα δέ

οὐκ ἰσχάδας οἴσεις; τῶν μελαινῶν, μανθάνεις;
ἐν τοῖς Μαριανδυνοῖς ἐκείνοις βαρβάροις
χύτρας καλοῦσι τὰς μελαίνας ἰσχάδας.

οἶδα δὲ καὶ Πάμφιλον εἰρηκότα προκνίδας γένος b
ἰσχάδων.

68. βότρυς δὲ ὅτι μὲν κοινὸν δῆλον. σταφυλῆς

δὲ μέμνηται καίτοι δοκοῦντος τοῦ ὀνόματος ἀσιαγε-
νοῦς εἶναι Κράτης ἐν δευτέρῳ ἀττικῆς διαλέκτου, ἐν
τοῖς ὕμνοις τοῖς ἀρχαίοις φάσκων ἀντὶ τοῦ βότρυος
τὴν σταφυλὴν κεῖσθαι, διὰ τούτων

αὐτῇσι σταφυλῇσι μελαίνῃσιν κομόωντες.

ὅτι δὲ καὶ παρ' Ὁμήρῳ ἐστὶ παντὶ δῆλον. Πλάτων δ'
ἐν ὀγδόῳ Νόμων καὶ βότρυς καὶ σταφυλὰς ὀνομάζει
c διὰ τούτων 'ὃς ἂν ἀγροίκου ὀπώρας γεύσηται, βο-
τρύων εἴτε καὶ σύκων, πρὶν ἐλθεῖν τὴν ὥραν τὴν
τοῦ τρυγᾶν ἀρκτούρῳ σύνδρομον, εἴτ' ἐν τοῖς αὑτοῦ
χωρίοις εἴτε καὶ ἐν ἄλλων, ἱερὰς μὲν πεντήκοντα
ὀφειλέτω τῷ Διονύσῳ δραχμάς, ἐὰν ἐκ τῶν αὑτοῦ
δρέπῃ, ἐὰν δ' ἐκ τῶν γειτόνων, μνᾶν, ἐὰν δὲ ἐξ ἄλ-
λων, δύο μέρη τῆς μνᾶς. ὃς δ' ἂν τὴν γενναίαν νῦν
λεγομένην σταφυλὴν ἢ τὰ γενναῖα σῦκα ἐπονομαζό-
μενα ὀπωρίζειν βούληται, ἐὰν μὲν ἐκ τῶν οἰκείων
λαμβάνῃ, ὅπως ἂν ἐθέλῃ καὶ ὁπόταν βούληται καρ-
d πούσθω. ἐὰν δ' ἐξ ἄλλων μὴ πείσας, ἑπόμενος τῷ
νόμῳ τῷ μὴ κινεῖν ὅ τι μὴ κατέθετο, ἐκεῖνος ἀεὶ ζη-
μιούσθω.' ταῦτα μὲν ὁ θεῖος Πλάτων· ἐγὼ δὲ πάλιν
ζητῶ τίς ἡ γενναία σταφυλὴ καὶ τίνα τὰ γενναῖα σῦκα.
ὥρα οὖν ζητεῖν ὑμῖν, ἕως ἐγὼ περὶ τῶν ἑξῆς παρα-
κειμένων διεξέλθω. καὶ ὁ Μασούριος ἔφη

μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔννηφι.

γενναῖα λέγει τὰ εὐγενῆ ὁ φιλόσοφος, ὡς καὶ Ἀρχί-
λοχος

πάρελθε, γενναῖος γὰρ εἶς.

ἢ τὰ ἐπιγεγεννημένα, οἷον τὰ ἐπεμβεβλημένα. ὁ γὰρ
Ἀριστοτέλης καὶ ἐπεμβολάδας ἀπίους ὀνομάζει τὰς
e ἐγκεκεντρισμένας. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησι-
φῶντος 'σῦκα καὶ βότρυς καὶ ἐλαίας συλλέγων.' Ξε-
νοφῶν ἐν Οἰκονομικῷ 'ὑπὸ τοῦ ἡλίου γλυκαίνεσθαι

τὰς σταφυλάς.᾽ οἴδασι δὲ οἱ πρὸ ἡμῶν καὶ τοὺς ἐν οἴνῳ συντιθεμένους βότρυς. Εὔβουλος γοῦν ἐν Κατακολλωμένῳ φησίν

ἀλλὰ παραλαβὼν ἀκράτῳ κροῦε καὶ δίδου πυκνάς,
καὶ βότρυς τρώγειν ἀνάγκαζ᾽ αὐτὸν ἐξ οἴνου συχνούς.

ὁ δὲ τὸν Χείρωνα πεποιηκὼς τὸν εἰς Φερεκράτην ἀναφερόμενόν φησιν f

ἀμυγδάλας καὶ μῆλα καὶ μιμαίκυλα
καὶ μύρτα καὶ σέλινα κἀξ οἴνου βότρυς
καὶ μυελόν.

ὅτι δὲ ἐν ταῖς Ἀθήναις διηνεκεῖς ἦσαν αἱ ὀπῶραι πᾶσαι μαρτυρεῖ Ἀριστοφάνης ἐν Ὥραις. τί οὖν παράδοξον ἱστορεῖν δοκεῖ Ἀέθλιος ὁ Σάμιος ἐν πέμπτῳ Σαμίων Ὥρων λέγων ‛σῦκον καὶ σταφυλὴ καὶ ὁμομηλὶς καὶ μῆλα καὶ ῥόδα δὶς τοῦ ἐνιαυτοῦ ἐγένετο.᾽ 654
Λυγκεὺς δ᾽ ἐν τῇ πρὸς Διαγόραν ἐπιστολῇ ἐπαινῶν τὸν κατὰ τὴν Ἀττικὴν γινόμενον νικοστράτειον βότρυν καὶ ἀντιτιθεὶς αὐτῷ τοὺς ῥοδιακούς φησι ‛τῷ δ᾽ ἐκεῖ καλουμένῳ βότρυι νικοστρατείῳ τὸν ἱππώνειον ἀντεκφέρουσα βότρυν, ὃς ἀπὸ ἑκατομβαιῶνος μηνὸς ὥσπερ ἀγαθὸς οἰκέτης διαμένει τὴν αὐτὴν ἔχων εὔνοιαν.᾽

69. ἐπεὶ δὲ πολλάκις ὑμῖν εἴρηται περί τε κρεῶν καὶ ὀρνίθων καὶ περιστεριδίων, ἔρχομαι κἀγὼ λέξων ὅσα ἐκ πολυαναγνωσίας εὑρεῖν ἠδυνήθην παρὰ τὰ προειρημένα. περιστέριον οὕτως ἔστιν εὑρεῖν εἰρημένον παρὰ Μενάνδρῳ ἐν Παλλακῇ b

μικρὸν ἐπιμείνας προστρέχει,
‛ἠγόρακά σοι περιστέρια᾽ λέγων.

ὁμοίως Νικόστρατος Ἅβρᾳ

ταῦτ᾽ ἀξιῶ,
τοὐρνιθάριον τὸ περιστέριον τὸ γάστριον.

Ἀναξανδρίδης ἐν Ἀντερῶντι

περιστέρια γὰρ εἰσάγων καὶ στρουθία.

Φρύνιχος Τραγῳδοῖς

περιστέριον δ᾽ αὐτῷ τι λαβὲ τριωβόλου.

φασιανικός. Πτολεμαῖος ὁ βασιλεὺς ἐν τῷ δυο- c καιδεκάτῳ τῶν ὑπομνημάτων περὶ τῶν ἐν Ἀλεξανδρείᾳ βασιλείων λέγων καὶ περὶ τῶν ἐν αὐτοῖς ζῴων τρεφομένων φησί 'τά τε τῶν φασιανῶν, οὓς τετάρους ὀνομάζουσιν, οὓς οὐ μόνον ἐκ Μηδίας μετεπέμποντο, ἀλλὰ καὶ νομάδας ὄρνιθας ὑποβαλών, ἐποίησε πλῆθος, ὥστε καὶ σιτεῖσθαι. τὸ γὰρ βρῶμα πολυτελὲς ἀποφαίνουσιν.' αὕτη τοῦ λαμπροτάτου βασιλέως φωνή, ὃς οὐδὲ φασιανικοῦ ὄρνιθός ποτε γεύσασθαι ὡμολόγησεν, ἀλλ᾽ ὥσπερ τι κειμήλιον ἀνακείμενον εἶχε τούσδε τοὺς ὄρνιθας. εἰ δὲ ἑοράκει ὡς ἡμῶν ἑκάστῳ εἷς ἐστι παρακείμενος χωρὶς τῶν ἤδη κατη- d ναλωμένων, προσαναπεπληρώκει ἂν ταῖς πολυθρυλήτοις ἱστορίαις τῶν ὑπομνημάτων τούτων τῶν εἰκοσιτεσσάρων καὶ ἄλλην μίαν. Ἀριστοτέλης δὲ ἢ Θεόφραστος ἐν τοῖς ὑπομνήμασι 'τῶν φασιανῶν (φησὶν) οὐ κατὰ λόγον ἡ ὑπεροχὴ τῶν ἀρρένων, ἀλλὰ πολλῷ μείζων.'

70. εἰ δ᾽ ὁ προειρημένος βασιλεὺς καὶ τὸ τῶν ταώνων πλῆθος ἑοράκει τῶν κατὰ τὴν Ῥώμην, κατεπεφεύγει ἂν ἐπὶ τὴν ἱερὰν σύγκλητον, ὡς ὑπὸ τοῦ ἀδελφοῦ πάλιν τῆς βασιλείας ἐξεληλαμένος. τοσοῦ- e τον γάρ ἐστι τὸ πλῆθος τούτων τῶν ὀρνίθων ἐν τῇ Ῥώμῃ ὡς δοκεῖν προμεμαντευμένον τὸν κωμῳδιοποιὸν Ἀντιφάνην ἐν Στρατιώτῃ ἢ Τύχωνι εἰρηκέναι τάδε

τῶν ταῶν μὲν ὡς ἅπαξ τις ζεῦγος ἤγαγ' ἓν μόνον,
σπάνιον ὂν τὸ χρῆμα, πλείους εἰσὶ νῦν τῶν ὀρτύγων.
χρηστὸν ἄνθρωπον δ' ἐάν τις ἕνα μόνον ζητῶν ἴδῃ,
ὄψετ' ἐκ τούτου πονηροὺς πέντε παῖδας γεγονότας.

Ἄλεξις δ' ἐν Λαμπάδι f

καταφαγεῖν
αὐτὸς τοσοῦτ' ἀργύριον. οὐδ' εἰ γάλα λαγὼ
εἶχον μὰ τὴν γῆν καὶ ταώς, κατήσθιον.

ὅτι δὲ καὶ τιθασοὺς εἶχον αὐτοὺς ἐν ταῖς οἰκίαις Στράττις παρίστησιν ἐν Παυσανίᾳ διὰ τούτων

πολλῶν φλυάρων καὶ ταῶν ἀντάξια,
οὓς βόσκεθ' ὑμεῖς ἕνεκα τῶν ὠκυπτέρων.

Ἀναξανδρίδης ἐν Μελιλώτῳ

οὐ μανικόν ἐστιν ἐν οἰκίᾳ τρέφειν ταώς, 655
ἐξὸν τοιουτουσὶ δι' ἀγάλματ' ἀγοράσαι;

Ἀναξίλας Ὀρνιθοκόμοις

καὶ πρὸς ἐπὶ τούτοις τιθασὸς οἰμώξων ταώς.

Μηνόδοτος δ' ὁ Σάμιος ἐν τῷ περὶ τῶν κατὰ τὸ ἱερὸν τῆς σαμίας Ἥρας φησίν 'οἱ ταοὶ ἱεροί εἰσι τῆς Ἥρας. καὶ μήποτε πρώτιστοι καὶ ἐγένοντο καὶ ἐτράφησαν ἐν Σάμῳ καὶ ἐντεῦθεν εἰς τοὺς ἔξω τόπους διεδόθησαν, ὡς καὶ οἱ ἀλεκτρυόνες ἐν τῇ Περσίδι καὶ αἱ καλούμεναι μελεαγρίδες ἐν τῇ Αἰτωλίᾳ.' διὸ καὶ Ἀντιφάνης ἐν τοῖς Ὁμοπατρίοις φησίν b

ἐν Ἡλίου μέν φασι γίγνεσθαι πόλει
φοίνικας, ἐν Ἀθήναις δὲ γλαῦκας. ἡ Κύπρος
ἔχει πελείας διαφόρους· ἡ δ' ἐν Σάμῳ
Ἥρα τὸ χρυσοῦν, φασίν, ὀρνίθων γένος,

τοὺς καλλιμόρφους καὶ περιβλέπτους ταώς. διόπερ καὶ ἐπὶ τοῦ νομίσματος τῶν Σαμίων ταὼς ἐστίν.

71. ἐπεὶ δὲ καὶ τῶν μελεαγρίδων Μηνόδοτος ἐμνήσθη, λέξομέν τι καὶ ἡμεῖς περὶ αὐτῶν. Κλύτος ὁ Μιλήσιος, Ἀριστοτέλους δὲ μαθητής, ἐν τῷ πρώτῳ
c περὶ Μιλήτου γράφει περὶ αὐτῶν οὕτως 'περὶ δὲ τὸ ἱερὸν τῆς παρθένου ἐν Λέρῳ εἰσὶν οἱ καλούμενοι ὄρνιθες μελεαγρίδες. ὁ δὲ τόπος ἐστὶν ἑλώδης ἐν ᾧ τρέφονται. ἔστι δὲ ἄστοργον πρὸς τὰ ἔκγονα τὸ ὄρνεον καὶ ὀλιγωρεῖ τῶν νεωτέρων, ὥστε ἀνάγκη τοῖς ἱερεῦσιν ἐπιμελεῖσθαι αὐτῶν. ἔχει δὲ τὸ μὲν μέγεθος ὄρνιθος γενναίου, τὴν δὲ κεφαλὴν μικρὰν πρὸς τὸ σῶμα καὶ ταύτην ψιλήν, ἐπ' αὐτῆς δὲ λόφον σάρκινον σκληρὸν στρογγύλον ἐξέχοντα τῆς κεφαλῆς ὥσπερ
d πάτταλον καὶ τὸ χρῶμα ξυλοειδῆ. πρὸς δὲ ταῖς γνάθοις ἀπὸ τοῦ στόματος ἀρξαμένην ἀντὶ πώγωνος μακρὰν σάρκα καὶ ἐρυθροτέραν τῶν ὀρνίθων. τὴν δὲ τοῖς ὄρνισιν ἐπὶ τῷ ῥύγχει γινομένην, ἣν ἔνιοι πώγωνα καλοῦσιν, οὐκ ἔχει· διὸ καὶ ταύτῃ κολοβόν ἐστι. ῥύγχος δὲ ὀξύτερον καὶ μεῖζον ἢ ὄρνις ἔχει. τράχηλος μέλας, παχύτερος καὶ βραχύτερος τῶν ὀρνίθων. τὸ δὲ σῶμα ἅπαν ποικίλον, μέλανος ὄντος τοῦ χρώματος ὅλου, πτίλοις λευκοῖς καὶ πυκνοῖς διειλημμένου μείζοσι φακῶν. οὗτοι δ' εἰσὶν ἐν ῥόμβοις οἱ κυκλίσκοι
e μέλασι τοῦ ὅλου χρώματος· διὸ καὶ ποικιλίαν τινὰ οἱ ῥόμβοι παρέχονται, τοῦ μὲν μέλανος ἔχοντος λευκότερον τὸ χρῶμα, τοῦ δὲ λευκοῦ πολὺ μελάντερον. τὸ δὲ κατὰ τὰς πτέρυγας αὐταῖς πεποίκιλται λευκῷ πριονώδεσι σχήμασι πυρώδεσι καὶ παρ' ἄλληλα κειμένοις. σκέλη δὲ ἄκεντρα, ὅμοια τοῖς ὀρνιθείοις. παραπλήσιαι δ' εἰσὶν αἱ θήλειαι τοῖς ἄρρεσι· διὸ καὶ

δυσδιάκριτόν ἐστι τὸ τῶν μελεαγρίδων γένος.' τοσαῦτα καὶ ὁ περιπατητικὸς φιλόσοφος περὶ τῶν μελεαγρίδων ἱστόρησεν.

72. ὀπτῶν δελφάκων δὲ μνημονεύει Ἐπικράτης f
ἐν Ἐμπόρῳ

ἐπὶ τοῖσδ' ἐγὼ
μάγειρος. οὔτε Σικελία καυχήσεται
τρέφειν τοιοῦτον ἄρταμον κατ' ἰχθύων,
οὐκ Ἦλις, ἔνθα δελφάκων ἐγὼ κρέα
κάλλιστ' ὄπωπα πυρὸς ἀκμαῖς ἠνθισμένα.

Ἄλεξις δ' ἐν Πονήρᾳ

τριωβόλου κρεΐσκον ἀστεῖον πάνυ
ὕειον ὀπτὸν θερμὸν εὔχυλον τέρεν,
ὅταν ᾖ τι, προσφέρων. 656

Ἀθηναῖοι δ', ὥς φησι Φιλόχορος, ταῖς Ὥραις θύοντες οὐκ ὀπτῶσιν ἀλλ' ἕψουσι τὰ κρέα, παραιτούμενοι τὰς θεὰς ἀπείργειν τὰ περισκελῆ καύματα καὶ τοὺς αὐχμούς, μετὰ δὲ τῆς συμμέτρου θερμασίας καὶ ὑδάτων ὡραίων ἐκτελεῖν τὰ φυόμενα. τὴν μὲν γὰρ ὄπτησιν ἐλάττους παρέχεσθαι ὠφελείας, τὴν δὲ ἕψησιν οὐ μόνον τὴν ὠμότητα περιαιρεῖν, ἀλλὰ καὶ τὰ σκληρὰ μαλάττειν δύνασθαι καὶ τὰ λοιπὰ πεπαίνειν. ἔτι δὲ εὐμενέστερον καὶ ἀκινδυνότερον πεπαίνει τὴν τροφήν. διόπερ ἑφθὸν ἐποπτᾶν οὔ φασι δεῖν οὐδ' b
ἐφέψειν. τὸ μὲν γὰρ ἀνάλυσιν ἔχειν δοκεῖ τοῦ βελτίονος, ὥς φησιν Ἀριστοτέλης. τὰ δὲ ὀπτὰ τῶν ἑφθῶν ὠμότερα καὶ ξηρότερα.' τὰ δὲ ὀπτὰ κρέα καλεῖται φλογίδες. Στράττις γοῦν ἐν Καλλιππίδῃ ἐπὶ τοῦ Ἡρακλέους φησίν

αὐτίκα δ' ἥρπασε τεμάχη
θερμάς τε κάπρου φλογίδας, ἔβρυχέ τε πάνθ'
ἅμα.

καὶ Ἄρχιππος ἐν Ἡρακλεῖ γαμοῦντι

ταδὶ δ' ἅμα χοίρων ἀκροκώλια μικρῶν,
ταύρου τ' αὐξίκερω φλογίδες,
αἵ δολιχαί τε κάπρου σχελίδες.

c 73. περὶ δὲ περδίκων τί δεῖ καὶ λέγειν ἐμέ, πλεόνων εἰρημένων ὑφ' ὑμῶν; ἀλλ' οὐ παραλείψω τὸ ἱστορηθὲν ὑπὸ Ἡγησάνδρου ἐν τοῖς ὑπομνήμασιν. φησὶ γὰρ ὅτι Σάμιοι πλεύσαντες εἰς Σύβαριν καὶ κατασχόντες τὴν Σιρῖτιν χώραν περδίκων ἀναπτάντων καὶ ποιησάντων ψόφον ἐκπλαγέντες ἔφυγον καὶ ἐμβάντες εἰς τὰς ναῦς ἀπέπλευσαν. περὶ δὲ λαγῶν Χαμαιλέων φησὶν ἐν τῷ περὶ Σιμωνίδου ὡς δειπνῶν παρὰ τῷ Ἱέρωνι ὁ Σιμωνίδης οὐ παρατεθέντος αὐτῷ
d ἐπὶ τὴν τράπεζαν καθάπερ καὶ τοῖς ἄλλοις λαγῴου, ἀλλ' ὕστερον μεταδιδόντος τοῦ Ἱέρωνος, ἀπεσχεδίασεν

οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.

ὄντως δὲ ἦν ὡς ἀληθῶς κίμβιξ ὁ Σιμωνίδης καὶ αἰσχροκερδής, ὡς Χαμαιλέων φησίν. ἐν Συρακούσαις γοῦν τοῦ Ἱέρωνος ἀποστέλλοντος αὐτῷ τὰ καθ' ἡμέραν λαμπρῶς, πωλῶν τὰ πλείω ὁ Σιμωνίδης τῶν παρ' ἐκείνου πεμπομένων ἑαυτῷ μικρὸν μέρος ἀπετίθετο. ἐρομένου δέ τινος τὴν αἰτίαν 'ὅπως (εἶπεν) ἥ τε Ἱέ-
e ρωνος μεγαλοπρέπεια καταφανὴς ᾖ καὶ ἡ ἐμὴ κοσμιότης.' οὔθατος δὲ Τηλεκλείδης ἐν Στερροῖς οὕτω μνημονεύει

ὡς οὖσα θῆλυς εἰκότως οὖθαρ φέρω.

ὑπογάστριον δ' αὐτὸ ὠνόμασεν Ἀντίδοτος ἐν Μεμψιμοίρῳ.

74. σιτιστῶν δὲ ὀρνίθων μὲν μνημονεύει Μάτρων ἐν ταῖς παρῳδίαις οὕτως

ὣς ἔφαθ'· οἳ δ' ἐγέλασσαν, ἐπήνεικάν τ' ἐπὶ τούτῳ

σιτευτὰς ὄρνιθας ἐπ᾽ ἀργυρέοισι πίναξιν,
ἄτριχας οἰετέας, λαγάνοις κατὰ νῶτον ἐΐσας. f

δελφάκων δὲ σιτευτῶν ὁ φλυακογράφος Σώπατρος ἐν Βακχίδος γάμῳ οὕτως

εἴ που κλίβανος ἦν, πολὺ δέλφαξ σιτευτὸς ἔτρυξεν.

δελφάκια δὲ Αἰσχίνης εἴρηκεν ἐν Ἀλκιβιάδῃ οὕτως ‘ὥσπερ αἱ καπηλίδες τὰ δελφάκια τρέφουσιν.’ Ἀντισθένης δ᾽ ἐν Φυσιογνωμονικῷ ‘καὶ γὰρ ἐκεῖναι τὰ δελφάκια πρὸς βίαν χορτάζουσιν.’ καὶ ἐν Προτρεπτικῷ δέ ‘ἀντὶ δελφακίων τρέφεσθαι.’ δέλφακα δὲ 657 ἀρσενικῶς εἴρηκε Πλάτων ἐν Ποιητῇ ‘δέλφακα δ᾽ ἀραιότατον.’ Σοφοκλῆς Ὕβρει ‘ἐσθίειν ἐθέλων τὸν δέλφακα.’ Κρατῖνος Ὀδυσσεῦσι ‘δέλφακας μεγάλους.’ θηλυκῶς δὲ Νικοχάρης ἔφη ‘κύουσαν δέλφακα.’ καὶ Εὔπολις Χρυσῷ γένει

οὐκ ἀλλ᾽ ἔθυον δέλφακ᾽ ωδον θήστίᾳ
καὶ μάλα καλήν.

καὶ Πλάτων Ἰοῖ

πρόσφερε δεῦρο δὴ τὴν κεφαλὴν τῆς δέλφακος.

Θεόπομπος Πηνελόπῃ

καὶ τὴν ἱερὰν σφάττουσιν ἡμῶν δέλφακα.

χηνῶν δὲ σιτευτῶν καὶ μόσχων Θεόπομπος ἐν τρισκαι- b δεκάτῳ Φιλιππικῶν καὶ ἑνδεκάτῳ Ἑλληνικῶν, ἐν οἷς ἐμφανίζει τὸ περὶ τὴν γαστέρα τῶν Λακώνων ἐγκρατές, γράφων οὕτως ‘καὶ οἱ Θάσιοι ἔπεμψαν Ἀγησιλάῳ προσιόντι πρόβατα παντοδαπὰ καὶ βοῦς εὖ τεθραμμένους, πρὸς τούτοις δὲ καὶ πέμματα καὶ τραγημάτων εἶδος παντοδαπόν. ὁ δὲ Ἀγησίλαος τὰ μὲν πρόβατα καὶ τοὺς βοῦς ἔλαβε, τὰ δὲ πέμματα καὶ τὰ τραγήματα πρῶτον μὲν οὐδὲ ἔγνω· κατεκεκάλυπτο γάρ. ὡς δὲ κατεῖδεν, ἀποφέρειν αὐτοὺς ἐκέλευσεν, c

εἰπὼν οὐ νόμιμον εἶναι Λακεδαιμονίοις χρῆσθαι τού-
τοις τοῖς ἐδέσμασι. λιπαρούντων δὲ τῶν Θασίων
'δότε, φησί, φέροντες ἐκείνοις' δείξας αὐτοῖς τοὺς εἵ-
λωτας, εἰπὼν ὅτι τούτους δέοι διαφθείρεσθαι τρώ-
γοντας αὐτὰ πολὺ μᾶλλον ἢ αὐτὸν καὶ τοὺς παρόντας
Λακεδαιμονίων.' ὅτι δὲ τοῖς εἵλωσιν ὑβριστικῶς
πάνυ ἐχρῶντο Λακεδαιμόνιοι καὶ Μύρων ὁ Πριηνεὺς
d ἱστορεῖ ἐν δευτέρῳ Μεσσηνιακῶν γράφων οὕτως
'τοῖς δ' εἵλωσι πᾶν ὑβριστικὸν ἔργον ἐπιτάττουσι
πρὸς πᾶσαν ἄγον ἀτιμίαν. κυνῆν τε γὰρ ἕκαστον
φορεῖν ἐπάναγκες ὥρισαν καὶ διφθέραν περιβεβλῆ-
σθαι, πληγάς τε τεταγμένας λαμβάνειν κατ' ἐνιαυτὸν
ἀδικήματος χωρίς, ἵνα μήποτε δουλεύειν ἀπομάθωσι.
πρὸς δὲ τούτοις εἴ τινες ὑπερακμάζοιεν τὴν οἰκετικὴν
ἐπιφάνειαν, ἐπέθηκαν ζημίαν θάνατον, καὶ τοῖς κε-
κτημένοις ἐπιτίμιον, εἰ μὴ ἐπικόπτοιεν τοὺς ἁδρου-
μένους. καὶ παραδόντες αὐτοῖς τὴν χώραν ἔταξαν
e μοῖραν ἣν αὐτοῖς ἀνοίσουσιν ἀεί.' χηνίζειν δὲ εἴρη-
ται ἐπὶ τῶν αὐλούντων. Δίφιλος Συνωρίδι

> ἐχηνίασας. Β. ποιοῦσι τοῦτο πάντες οἱ
> παρὰ Τιμοθέῳ.

75. ἐπεὶ δὲ καὶ πετασῶνος μέρος ἑκάστῳ κεῖται,
ἣν πέρναν καλοῦσι, φέρε τι εἴπωμεν καὶ περὶ αὐτῆς,
εἴ τις τοῦ ὀνόματος μνημονεύει. κάλλισται μὲν γὰρ
αἱ γαλατικαί, καὶ οὐκ ἀπολείπονται δὲ αὐτῶν οὔτε
αἱ ἀπὸ Κιβύρας τῆς ἀσιατικῆς οὔτε αἱ λύκιαι. μνη-
μονεύει δὲ αὐτῶν Στράβων ἐν τρίτῃ Γεωγραφουμέ-
f νων, ἀνὴρ οὐ πάνυ νεώτερος· λέγει γὰρ αὐτὸν ἐν τῇ
ἑβδόμῃ τῆς αὐτῆς πραγματείας ἐγνωκέναι Ποσειδώ-
νιον τὸν ἀπὸ τῆς στοᾶς φιλόσοφον, οὗ πολλάκις με-
μνήμεθα, συγγενομένου Σκιπίωνι τῷ τὴν Καρχηδόνα
ἑλόντι. γράφει δ' οὖν ὁ Στράβων οὕτως 'ἐν Σπανίᾳ

πρὸς τῇ Ἀκυτανίᾳ πόλις Πομπέλων, ὡς ἂν εἴποι τις Πομπηιόπολις, ἐν ᾗ πέρναι διάφοροι συντίθενται 658 ταῖς κιβυρικαῖς ἐνάμιλλοι.’

ἁλιπάστων δὲ κρεῶν μνημονεύει ὁ τῆς κωμῳδίας ποιητὴς Ἀριστομένης ἐν Διονύσῳ

ἁλίπαστα ταῦτα παρατίθημί σοι κρέα.

καὶ ἐν Γόησιν

ὀστακὸν
ἁλίπαστον ἀεὶ τὸν θεράποντ’ ἐπεσθίειν.

76. ἐπεὶ δὲ καὶ ‘σικελίας αὔχημα τροφαλὶς’ ἥδε ἔστι, φίλοι, λέξωμέν τι καὶ περὶ τυρῶν. Φιλήμων μὲν γὰρ ἐν τῷ ἐπιγραφομένῳ Σικελικῷ

ἐγὼ πρότερον μὲν ᾤόμην τὴν Σικελίαν
ἓν τοῦτ’ ἀπότακτον αὐτὸ τοὺς τυροὺς ποιεῖν b
καλούς. ἔτι ταῦτα προσετίθην ἀκηκοώς,
[τυρὸς σικελικὸς ὅτι κράτιστος ἦν αἵ τε περιστεραὶ σικελικαί]
ἱμάτια ποικίλ’ εἰ λέγοι τις σικελικά.
σκεύη μὲν οὖν καὶ κτήματ’ ᾤόμην φέρειν.

καὶ ὁ τρομιλικὸς δὲ τυρὸς ἔνδοξος ἐστί. περὶ οὗ φησὶ Δημήτριος ὁ Σκήψιος ἐν δευτέρῳ Τρωικοῦ Διακόσμου οὕτως ‘τῆς Ἀχαΐας πόλις Τρομίλεια, περὶ ἣν γίνεται τυρὸς αἴγειος ἥδιστος, οὐκ ἔχων σύγκρισιν πρὸς ἕτερον, ὁ προσαγορευόμενος τρομιλικός· οὗ καὶ Σιμω- c νίδης μνημονεύει ἐν ἰάμβῳ, οὗ ἡ ἀρχή

ἦ πολλὰ μὲν δὴ προεκπονῇ Τηλέμβροτε,

γράφων

ἐνταῦθα μέντοι τυρὸς ἐξ Ἀχαΐης
τρομιλικὸς θαυμαστός, ὃν κατήγαγον.

Εὐριπίδης δ’ ἐν Κύκλωπι ὀπίαν καλεῖ τυρὸν τὸν δριμύν, τὸν πηγνύμενον τῷ τῆς συκῆς ὀπῷ

καὶ τυρὸς ὀπίας ἐστὶ καὶ Διὸς γάλα.

ἐπεὶ δὲ περὶ πάντων εἰπὼν τῶν παρακειμένων ἀπο-
d τράγημα πεποίημαι τὸν τρομιλικόν, καταπαύσω τὸν
λόγον. τὸ γὰρ λείψανον τῶν τραγημάτων καὶ τρωξί-
μων ἀποπάτημα εἴρηκεν Εὔπολις. σκώπτων γὰρ
Διδυμίαν τινὰ ἀποπάτημα αὐτὸν εἴρηκεν ἀλώπεκος,
ἤτοι ὡς μικρὸν τὸ σῶμα ἢ ὡς κακοήθη καὶ πανοῦρ-
γον, ὥς φησιν ὁ Ἀσκαλωνίτης Δωρόθεος. τοὺς δὲ
λεπτοὺς τῶν τυρῶν καὶ πλατεῖς Κρῆτες θηλείας κα-
λοῦσιν, ὥς φησι Σέλευκος· οὓς ἐν θυσίαις τισὶν ἐνα-
γίζουσιν. πυριέφθων δὲ μνημονεύει, οὕτω δὲ καλεῖ-
ται τὸ πρῶτον γάλα, Φιλιππίδης ἐν Αὐλοῖς·

> e τὰ δὲ πυριέφθα καὶ τὰ λάχανα ταῦτ᾽ ἔχων.

καὶ ἴσως πάντα τὰ τοιαῦτα ἐπιδειπνίδας ἔλεγον Μα-
κεδόνες. κώθωνος γὰρ ἡδύσματα ταῦτα.

77. τοιαῦτά τινα ἔτι τοῦ Οὐλπιανοῦ διαλεγομένου
ἐπελθὼν εἷς ἐκείνων τῶν σοφιστῶν μαγείρων ἐκή-
ρυσσε μῦμα. καὶ πολλῶν ξενιζομένων ἐπὶ τῷ κηρύγ-
ματι, οὐ γὰρ ἐδείκνυεν ὁ στιγματίας ὅ τι ἦν, ἔφη,
ἀγνοεῖν μοι δοκεῖτε, ὦ ἄνδρες δαιταλεῖς, ὅτι καὶ
Κάδμος ὁ τοῦ Διονύσου πάππος μάγειρος ἦν. σιω-
πησάντων δὲ καὶ ἐπὶ τούτῳ πάντων, Εὐήμερος, ἔφη,
ὁ Κῷος ἐν τῷ τρίτῳ τῆς ἱερᾶς ἀναγραφῆς τοῦθ᾽
f ἱστορεῖ, ὡς Σιδωνίων λεγόντων τοῦτο, ὅτι Κάδμος
μάγειρος ὢν τοῦ βασιλέως καὶ παραλαβὼν τὴν Ἁρ-
μονίαν αὐλητρίδα καὶ αὐτὴν οὖσαν τοῦ βασιλέως
ἔφυγε σὺν αὐτῇ.

> ἐγὼ δὲ φεύξομαι ἐλεύθερος γεγώς;

οὐδὲ γὰρ ἂν εὕροι τις ὑμῶν δοῦλον μάγειρόν τινα ἐν
κωμῳδίᾳ, πλὴν παρὰ Ποσειδίππῳ μόνῳ. δοῦλοι δ᾽
659 ὀψοποιοὶ παρῆλθον ὑπὸ πρώτων Μακεδόνων, τοῦτ᾽
ἐπιτηδευσάντων ἢ δι᾽ ὕβριν ἢ δι᾽ ἀτυχίαν τῶν αἰχμα-
λωτισθεισῶν πόλεων. ἐκάλουν δ᾽ οἱ παλαιοὶ τὸν μὲν

πολιτικὸν μάγειρον Μαίσωνα τὸν δ᾽ ἐκτόπιον Τέτ-
τιγα. Χρύσιππος δ᾽ ὁ φιλόσοφος τὸν Μαίσωνα ἀπὸ
τοῦ μασᾶσθαι οἴεται κεκλῆσθαι, οἷον τὸν ἀμαθῆ καὶ
πρὸς γαστέρα νενευκότα, ἀγνοῶν ὅτι Μαίσων γέγονε
κωμῳδίας ὑποκριτὴς Μεγαρεὺς τὸ γένος, ὃς καὶ τὸ
προσωπεῖον εὗρε τὸ ἀπ᾽ αὐτοῦ καλούμενον μαίσωνα,
ὡς Ἀριστοφάνης φησὶν ὁ Βυζάντιος ἐν τῷ περὶ προσ- b
ώπων, εὑρεῖν αὐτὸν φάσκων καὶ τὸ τοῦ θεράποντος
πρόσωπον καὶ τὸ τοῦ μαγείρου. καὶ εἰκότως καὶ τὰ
τούτοις πρέποντα σκώμματα καλεῖται μαισωνικά. μά-
λιστα γὰρ εἰσάγονται οἱ μάγειροι σκωπτικοί τινες,
ὡς παρὰ Μενάνδρῳ ἐν Ἐπιτρέπουσι. καὶ Φιλήμων
δέ πού φησι

σφίγγ᾽ ἄρρεν᾽, οὐ μάγειρον, εἰς τὴν οἰκίαν
εἴληφ᾽· ἁπλῶς γὰρ οὐδὲ ἓν μὰ τοὺς θεοὺς
ὧν ἂν λέγῃ συνίημι· καινὰ ῥήματα
πεπορισμένος γάρ ἐστιν. c

τὸν δὲ Μαίσωνα Πολέμων ἐν τοῖς πρὸς Τίμαιον ἐκ
τῶν ἐν Σικελίᾳ φησὶν εἶναι Μεγάρων, καὶ οὐκ ἐκ
τῶν Νισαίων. ἀλλ᾽ ὅ γε Ποσείδιππος περὶ δούλων
μαγείρων ἐν Ἀποκλειομένῃ φησί

ταυτὶ μὲν οὖν τοιαῦτα. συμβαίνει δέ τι
νῦν μοι διακονοῦντι παρὰ τῷ δεσπότῃ
ἀστεῖον· οὐχ ἁλώσομ᾽ ἐκφέρων κρέας.

καὶ ἐν Συντρόφοις

ἐβάδιζες ἔξω τῶν πυλῶν μάγειρος ὤν;
Β. ἐντὸς πυλῶν γὰρ ἂν μένων ἄδειπνος ἦν. d
Α. πότερ᾽ οὖν ἀφεῖσαι; Β. κατ᾽ ἀγορὰν ἐργά-
ζομαι·
ἐπρίατο γάρ τις ὁμότεχνός με γνώριμος.

78. οὐδὲν οὖν ἦν παράδοξον εἰ καὶ θυτικῆς ἦσαν
ἔμπειροι οἱ παλαίτεροι μάγειροι· προΐσταντο γοῦν καὶ

γάμων καὶ θυσιῶν. διόπερ Μένανδρος ἐν Κόλακι τὸν τοῖς τετραδισταῖς διακονούμενον μάγειρον ἐν τῇ τῆς πανδήμου Ἀφροδίτης ἑορτῇ ποιεῖ ταυτὶ λέγοντα

σπονδή. δίδου σὺ σπλάγχν᾽ ἀκολουθῶν. ποῖ βλέπεις;
e σπονδή. φέρ᾽ ὦ παῖ Σωσία. σπονδή. καλῶς.
ἔγχου. θεοῖς ὀλυμπίοις εὐχώμεθα
ὀλυμπίαισι πᾶσι πάσαις· λάμβανε
τὴν γλῶτταν ἐν τούτῳ· διδόναι σωτηρίαν,
ὑγίειαν, ἀγαθὰ πολλά, τῶν ὄντων τε νῦν
ἀγαθῶν ὄνησιν πᾶσι. ταῦτ᾽ εὐχώμεθα.

καὶ παρὰ Σιμωνίδῃ δέ φησιν ἕτερος

f χὠς ἄφευσα χὠς ἐμίστυλα κρέα
ἱρωστί· καὶ γὰρ οὐ κακῶς ἐπίσταμαι.

ἐμφαίνει δ᾽ αὐτῶν τὴν ἐμπειρίαν καὶ ἡ πρὸς Ἀλέξανδρον Ὀλυμπιάδος ἐπιστολή. προτρεπομένη μάγειρον αὐτῷ πρίασθαι θυσιῶν ἔμπειρον ἡ μήτηρ φησί 'Πελίγναν τὸν μάγειρον λαβὲ παρὰ τῆς μητρός. οὗτος γὰρ οἶδε τὰ ἱερά σου τὰ πατρῷα πάντα ὃν τρόπον θύεται καὶ τὰ ὀργιαστικὰ καὶ τὰ βακχικά, ὅσα τε
660 Ὀλυμπιὰς προθύεται, οὗτος οἶδε. μὴ οὖν ἀμελήσῃς, ἀλλὰ λαβέ, καὶ ἀπόστειλον πρὸς ἐμὲ τὴν ταχίστην.'

79. ὅτι δὲ σεμνὸν ἦν ἡ μαγειρικὴ μαθεῖν ἔστιν ἐκ τῶν Ἀθήνησι Κηρύκων. οἵδε γὰρ μαγείρων καὶ βουτύπων ἐπεῖχον τάξιν, ὥς φησι Κλείδημος ἐν Πρωτογονείας πρώτῳ. Ὅμηρός τε τὸ ῥέξειν ἐπὶ τοῦ θύειν τάσσει, τὸ δὲ θύειν ἐπὶ τοῦ ψαιστὰ μεταδόρπια θυμιᾶν. καὶ οἱ παλαιοὶ τὸ θύειν δρᾶν ὠνόμαζον. ἔδρων δ᾽ οἱ κήρυκες ἄχρι πολλοῦ βουθυτοῦντες, φησί, καὶ σκευάζοντες καὶ μιστύλλοντες, ἔτι δ᾽ οἰνοχοοῦντες.
b κήρυκας δ᾽ αὐτοὺς ἀπὸ τοῦ κρείττονος ὠνόμαζον. ἀναγέγραπταί τε οὐδαμοῦ μαγείρῳ μισθός, ἀλλὰ

κήρυκι. καὶ Ἀγαμέμνων δὲ παρ' Ὁμήρῳ θύει βασιλεύων. φησὶ γὰρ ὁ ποιητής

ἦ καὶ ἀπὸ στομάχους ἀρνῶν τάμε νηλέϊ χαλκῷ.
καὶ τοὺς μὲν κατέθηκεν ἐπὶ χθονὸς ἀσπαίροντας
θυμοῦ δευομένους· ἀπὸ γὰρ μένος εἵλετο χαλκός.

καὶ Θρασυμήδης ὁ τοῦ Νέστορος υἱὸς ἀναλαβὼν πέλεκυν κόπτει τὸν βοῦν, ἐπεὶ διὰ τὸ γῆρας ὁ Νέστωρ c
οὐκ ἠδύνατο· συνεπόνουν δὲ αὐτῷ καὶ οἱ ἄλλοι ἀδελφοί. οὕτως ἔνδοξον ἦν καὶ μέγιστον τὸ τῆς μαγειρικῆς τέχνης ἀξίωμα. καὶ παρὰ Ῥωμαίοις δὲ οἱ τιμηταί, μεγίστη δ' αὕτη ἀρχή, τὴν περιπόρφυρον ἐνδεδυκότες καὶ ἐστεφανωμένοι πελέκει τὰ ἱερεῖα κατέβαλλον. οὐ παρέργως δὲ παρ' Ὁμήρῳ καὶ τὰ ὅρκια καὶ τὰ ἱερόθυτα κήρυκες κομίζουσιν, ὡς παλαιᾶς οὔσης καὶ προσηκούσης αὐτοῖς τῆς λειτουργίας·

Ἕκτωρ δὲ προτὶ ἄστυ δύω κήρυκας ἔπεμπεν, d
καρπαλίμως ἄρνας τε φέρειν Πρίαμόν τε καλέσσαι.

καὶ πάλιν

αὐτὰρ ὁ Ταλθύβιον προΐει κρείων Ἀγαμέμνων
νῆας ἐπὶ γλαφυρὰς ἰέναι, ἠδ' ἄρν' ἐκέλευσεν
οἰσέμεναι.

καί

Ταλθύβιος δέ, θεῷ ἐναλίγκιος αὐδήν,
κάπρον ἔχων ἐν χερσὶ παρίστατο ποιμένι λαῶν.

80. ἐν δὲ τῷ πρώτῳ τῆς Ἀτθίδος Κλείδημος φῦλον ἀποφαίνει μαγείρων ἐχόντων δημιουργικὰς τιμάς, e
οἷς καὶ τὸ πλῆθος ἐνεργεῖν ἔργον ἦν. οὐκ ἀπεικότως δὲ καὶ Ἀθηνίων ἐν Σαμόθραξιν, ὥς φησιν Ἰόβας, μάγειρον εἰσάγει φυσιολογοῦντα διὰ τούτων

οὐκ οἶσθ᾽ ὅτι πάντων ἡ μαγειρικὴ τέχνη
πρὸς εὐσέβειαν πλεῖστα προσενήνεχθ᾽ ὅλως;
Β. τοιοῦτόν ἐστι τοῦτο; Α. πάνυ γε, βάρβαρε.
τοῦ θηριώδους καὶ παρασπόνδου βίου
ἡμᾶς γὰρ ἀπολύσασα καὶ τῆς δυσχεροῦς
f ἀλληλοφαγίας ἤγαγ᾽ εἰς τάξιν τινά,
καὶ τουτονὶ περιῆψεν ὃν νυνὶ βίον
ζῶμεν. Β. τίνα τρόπον; Α. πρόσεχε, κἀγώ σοι φράσω.
ἀλληλοφαγίας καὶ κακῶν ὄντων συχνῶν,
γενόμενος ἄνθρωπός τις οὐκ ἀβέλτερος
ἔθυσ᾽ ἱερεῖον πρῶτος, ὤπτησεν κρέας.
ὡς δ᾽ ἦν τὸ κρέας ἥδιον ἀνθρώπου κρεῶν,
αὑτοὺς μὲν οὐκ ἐμασῶντο, τὰ δὲ βοσκήματα
θύοντες ὤπτων. ὡς δ᾽ ἅπαξ τῆς ἡδονῆς
661 ἐμπειρίαν τιν᾽ ἔλαβον, ἀρχῆς γενομένης
ἐπὶ πλεῖον ηὖξον τὴν μαγειρικὴν τέχνην.
ὅθεν ἔτι καὶ νῦν τῶν πρότερον μεμνημένοι
τὰ σπλάγχνα τοῖς θεοῖσιν ὀπτῶσιν φλογί,
ἅλας οὐ προσάγοντες· οὐ γὰρ ἦσαν οὐδέπω
εἰς τὴν τοιαύτην χρῆσιν ἐξευρημένοι.
ὡς δ᾽ ἤρεσ᾽ αὐτοῖς ὕστερον, καὶ τοὺς ἅλας
προσάγουσιν ἤδη, τῶν ἱερῶν γεγραμμένων
τὰ πάτρια διατηροῦντες. ἅπερ ἡμῖν μόνα
ἅπασιν ἀρχὴ γέγονε τῆς σωτηρίας,
b τὸ προσφιλοτεχνεῖν διά τε τῶν ἡδυσμάτων
ἐπὶ πλεῖον αὔξειν τὴν μαγειρικὴν τέχνην.
Β. καινὸς γάρ ἐστιν οὑτοσὶ Παλαίφατος.
Α. μετὰ ταῦτα γαστρίον τις ὠνθυλευμένον
προϊόντος εἰσηνέγκατ᾽ ἤδη τοῦ χρόνου·
ἐρίφιον ἐτακέρωσε, πνικτῷ διέλαβεν
περικομματίῳ, διεγίγγρασ᾽ ὑποκρούσας γλυκεῖ,

ἰχθὺν παρεισεκύκλησεν οὐδ᾽ ὁρώμενον,
λάχανον, τάριχος πολυτελές, χόνδρον, μέλι. c
ὡς πολὺ δὲ διὰ τὰς ἡδονὰς ἃς νῦν λέγω
ἀπεῖχ᾽ ἕκαστος τοῦ φαγεῖν ἂν ἔτι νεκροῦ,
αὑτοῖς ἅπαντες ἠξίουν συζῆν, ὄχλος
ἠθροίζετ᾽, ἐγένονθ᾽ αἱ πόλεις οἰκούμεναι
διὰ τὴν τέχνην, ὅπερ εἶπα, τὴν μαγειρικήν.
*Β.* ἄνθρωπε χαῖρε, περὶ πόδ᾽ εἶ τῷ δεσπότῃ.
*Α.* καταρχόμεθ᾽ ἡμεῖς οἱ μάγειροι, θύομεν,
σπονδὰς ποιοῦμεν τῷ μάλιστα τοὺς θεοὺς
ἡμῖν ὑπακούειν διὰ τὸ ταῦθ᾽ εὑρηκέναι
τὰ μάλιστα συντείνοντα πρὸς τὸ ζῆν καλῶς. d
*Β.* ὑπὲρ εὐσεβείας οὖν σαφές. παῦσαι λέγων,
ἥμαρτον. ἀλλὰ δεῦρο νῦν συνείσιθι
ἐμοί, τά τ᾽ ἔνδον εὐτρεπῆ ποίει λαβών.

81. καὶ Ἄλεξις δ᾽ ἐν Λέβητι δηλοῖ ὅτι ἡ μαγειρικὴ τέχνη ἐπιτήδευμα ἐλευθέρων. πολίτης γάρ τις οὐκ ἀπινὴς ἐν αὐτῷ δείκνυται ὁ μάγειρος. καὶ οἱ τὰ Ὀψαρτυτικὰ δὲ συγγράψαντες Ἡρακλείδης τε καὶ e Γλαῦκος ὁ Λοκρὸς οὐχ ἁρμόττειν φασὶ τὴν μαγειρικὴν ἀλλ᾽ οὐδὲ τοῖς τυχοῦσι τῶν ἐλευθέρων. ἐκσεμνύνει δὲ τὴν τέχνην καὶ ὁ νεώτερος Κρατῖνος ἐν τοῖς Γίγασι λέγων

ἐνθυμεῖ δὲ τῆς γῆς ὡς γλυκὺ
ὄζει καπνός τ᾽ ἐξέρχετ᾽ εὐωδέστατος.
οἰκεῖ τις, ὡς ἔοικεν, ἐν τῷ χάσματι
λιβανωτοπώλης ἢ μάγειρος σικελικός.

παραπλησίαν ὀσμὴν λέγει ἀμφοῖν. καὶ ὁ γλυκὺς Ἀν- f
τιφάνης δ᾽ ἐν Δυσπράτῳ ἐπαινῶν τοὺς σικελικοὺς μαγείρους λέγει

Σικελῶν δὲ τέχναις ἡδυνθεῖσαι
δαιτὸς διαθρυμματίδες.

καὶ Μένανδρος ἐν Φάσματι

ἐπισημαίνεσθ', ἐὰν
ἡ σκευασία καθάρειος ᾖ καὶ ποικίλη.

Ποσείδιππος ἐν Ἀναβλέποντι

ἕν' ἐγὼ μάγειρον λαμβάνων ἀκήκοα
662 τὰ τῶν μαγείρων πάντα καθ' ἑκάστου κακά.
ἀντεργολαβοῦντες ἔλεγον ὃ μὲν ὡς οὐκ ἔχει
ῥῖνα κριτικὴν πρὸς τοὔψον, ὃ δ' ὅτι τὸ στόμα
πονηρόν, ὃ δὲ τὴν γλῶτταν εἰς ἀσχήμονας
ἐπιθυμίας ἐμίαινε τῶν ἡδυσμάτων,
κάθαλος, κάτοξος, χναυστικός, προσκαυστικός,
καπνὸν οὐ φέρων, πῦρ οὐ φέρων. ἐκ τοῦ πυρὸς
εἰς τὰς μαχαίρας ἦλθον· ὧν εἷς οὑτοσὶ
b διὰ τῶν μαχαιρῶν τοῦ πυρός τ' ἐλήλυθεν.

Ἀντιφάνης δ' ἐν Φιλώτιδι τὴν σοφίαν τῶν μαγείρων ἐμφανίζων φησί

οὐκοῦν τὸ μὲν γλαυκίδιον ὥσπερ ἄλλοτε
ἕψειν ἐν ἅλμῃ φημί. Β. τὸ δὲ λαβράκιον;
Α. ὀπτᾶν ὅλον. Β. τὸν γαλεόν; Α. ἐν ὑποτρίμ-
ματι
ζέσαι. Β. τὸ δ' ἐγχέλειον; Α. ἅλες, ὀρίγανον,
ὕδωρ. Β. ὁ γόγγρος; Α. ταυτόν. Β. ἡ βατίς;
Α. χλόη.
Β. πρόσεστι θύννου τέμαχος. Α. ὀπτήσεις. Β.
κρέας
ἐρίφειον; Α. ὀπτόν. Β. θάτερον; Α. τἀναντία.
c Β. ὁ σπλήν; Α. σεσάχθω. Β. νῆστις; Β. ἀπολεῖ
μ' οὑτοσί.

ἀοιδίμων δ' ὀψαρτυτῶν ὀνόματα καταλέγει Βάτων ἐν Εὐεργέταις οὕτως

εὖ γ' ὦ Σιβύνη, τὰς νύκτας οὐ καθεύδομεν
οὐδ' ἀναπεπαύμμεθ', ἀλλὰ κάεται λύχνος,

καὶ βιβλί᾽ ἐν ταῖς χερσί, καὶ φροντίζομεν
τί Σόφων καταλέλοιπ᾽, ἢ τί Σημωνακτίδης
ὁ Χῖος, ἢ Τυνδάριχος ὁ Σικυώνιος, d
ἢ Ζωπυρῖνος. Β. αὐτὸς εὕρηκας δὲ τί;
Α. τὰ μέγιστα. Β. ποῖα ταῦτα; Α. τοὺς τεθνη-
κότας . . .

82. ἐγὼ δὲ τοιουτονὶ βρῶμα ὑμῖν, ἄνδρες φίλοι,
τὸ μύμα φέρω. περὶ οὗ Ἀρτεμίδωρος μὲν ὁ Ἀριστο-
φάνειος ἐν ὀψαρτυτικαῖς γλώσσαις φησὶν ὅτι σκευά-
ζεται ἐκ κρεῶν καὶ αἵματος, πολλῶν ἀρτυμάτων συν-
εμβαλλομένων. Ἐπαίνετος δ᾽ ἐν Ὀψαρτυτικῷ λέγει
ταῦτα 'μύμα δὲ παντὸς ἱερείου καὶ ὄρνιθος δὲ χρὴ
ποιεῖν τὰ ἁπαλὰ τῶν κρεῶν μικρὰ συντεμόντα καὶ τὰ e
σπλάγχνα καὶ τὸ ἔντερον καὶ τὸ αἷμα διαθρύψαντα,
καὶ ἀρτύσαντα ὄξει, τυρῷ ὀπτῷ, σιλφίῳ, κυμίνῳ,
θύμῳ χλωρῷ καὶ ξηρῷ, θύμβρᾳ, κοριάννῳ χλωρῷ τε
καὶ ξηρῷ, καὶ γητίῳ, καὶ κρομμύῳ καθαρῷ πεφω-
σμένῳ, ἢ μήκωνι καὶ σταφίδι, ἢ μέλιτι καὶ ῥόας
ὀξείας κόκκοις. εἶναι δέ σοι τὸ αὐτὸ μύμα καὶ ὄψον.'

83. τοσαῦτα καὶ τούτου κατακόψαντος οὐ μόνον
τὰ προειρημένα ἀλλὰ καὶ ἡμᾶς, ἄλλος ἐπεισῆλθε τὴν
ματτύην κομίζων. ὑπὲρ ἧς καὶ ζητήσεως γενομένης f
καὶ τοῦ Οὐλπιανοῦ εἰπόντος τὰ ἐκ τῶν ὀψαρτυτικῶν
γλωσσῶν τοῦ προειρημένου Ἀρτεμιδώρου, Αἰμιλιανὸς
Δωροθέῳ ἔφη τῷ Ἀσκαλωνίτῃ σύγγραμμα ἐκδεδό-
σθαι ἐπιγραφόμενον περὶ Ἀντιφάνους καὶ περὶ τῆς
παρὰ τοῖς νεωτέροις κωμικοῖς ματτύης· ἣν Θετταλῶν
φησὶν εἶναι εὕρημα ἐπιχωριάσαι τε κἀν ταῖς Ἀθήναις
κατὰ τὴν Μακεδόνων ἐπικράτειαν. ὁμολογοῦνται δὲ
οἱ Θετταλοὶ πολυτελέστατοι τῶν Ἑλλήνων γεγενῆ- 663
σθαι περί τε τὰς ἐσθῆτας καὶ τὴν δίαιταν· ὅπερ αὐ-
τοῖς αἴτιον ἐγένετο καὶ τοῦ κατὰ τῆς Ἑλλάδος ἐπαγα-

γεῖν τοὺς Πέρσας, ἐζηλωκόσι τὴν τούτων τρυφὴν καὶ πολυτέλειαν. ἱστορεῖ δὲ περὶ τῆς πολυτελείας αὐτῶν καὶ Κριτίας ἐν τῇ πολιτείᾳ αὐτῶν. ὠνομάσθη δὲ ἡ ματτύη, ὡς μὲν ὁ Ἀθηναῖος Ἀπολλόδωρός φησιν ἐν τῷ πρώτῳ τῶν ἐτυμολογουμένων, ἀπὸ τοῦ μασᾶσθαι,
b ὥσπερ καὶ ἡ μαστίχη, καὶ τὰ μάλιστα καὶ [ἡ μᾶζα]. ἡμεῖς δὲ φαμὲν ἀπὸ τοῦ μάττειν, ἀφ' οὗ καὶ ἡ μᾶζα αὐτὴ ὠνομάσθη, καὶ ἡ παρὰ Κυπρίοις καλουμένη μαγίς, καὶ τὸ τρυφᾶν καθ' ὑπερβολὴν ὑπερμαζᾶν. κατ' ἀρχὰς μὲν οὖν τὴν δημοτικὴν καὶ κοινὴν ταύτην τροφὴν τὴν ἐκ τῶν ἀλφίτων μᾶζαν ὠνόμαζον, καὶ μάττειν τὸ παρασκευάζειν αὐτήν. ὕστερον δὲ ποικίλλοντες τὴν ἀναγκαίαν τροφὴν ἀκολάστως καὶ περιέργως, μικρὸν παραγαγόντες τοὔνομα τῆς μάζης, ματ-
c τύην ὠνόμαζον πᾶν τὸν πολυτελὲς ἔδεσμα, τὸ δὲ ματτυάζειν τὸ παρασκευάζειν αὐτά, εἴτε ἰχθὺς εἴη εἴτε ὄρνις εἴτε λάχανον εἴτε ἱερεῖον εἴτε πεμμάτιον. τοῦτο δὲ δῆλόν ἐστιν ἐξ οὗ καὶ ὁ Ἀρτεμίδωρος παρέθετο μαρτυρίου Ἀλέξιδος. συνεμφῆναι γὰρ βουλόμενος ὁ Ἄλεξις τὴν ἀκολασίαν τῆς παρασκευῆς προσέθηκε τὸ λέπεσθαι. ἔχει δ' ἡ σύμπασα ἐκλογὴ οὕτως, οὖσα ἐκ τοῦ διεσκευασμένου δράματος, ὃ ἐπιγράφεται Δημήτριος

> τοὖψον λαβοῦσαι τοῦτο τἀπεσταλμένον
> σκευάζετ', εὐωχεῖσθε, προπόσεις πίνετε,
> d λέπεσθε, ματτυάζετε.

τῷ δὲ λέπεσθαι χρῶνται οἱ Ἀθηναῖοι ἐπ' ἀσελγοῦς καὶ φορτικῆς δι' ἀφροδισίων ἡδονῆς.

84. καὶ ὁ Ἀρτεμίδωρος ἐν ταῖς ὀψαρτυτικαῖς γλώσσαις τὴν ματτύην ἀποφαίνει κοινὸν εἶναι πάντων ὄνομα τῶν πολυτελῶν ἡδυσμάτων, γράφων οὕτως· εἴ τις τῆς ὄρνιθος ματτύης. ἐσφάχθω μὲν διὰ τοῦ

στόματος εἰς τὴν κεφαλήν. ἔστω δὲ ἕωλος καθάπερ ὁ πέρδιξ· ἐὰν δὲ θέλῃς, ὡς ἔχει τοῖς πτεροῖς ἐᾶν τετιλμένην.' εἶτα τὸν τρόπον ἐκθεὶς τῆς ἀρτύσεως καὶ τῆς ἑψήσεως ἐπιφέρει εὐθύς 'καὶ νομάδα παχεῖαν ἕψε e καὶ νεοσσοὺς τῶν ἤδη κοκκυζόντων, ἐὰν θέλῃς παρὰ πότον χρῆσθαι. εἶτ' ἐξελὼν τὰ λάχανα εἰς τρύβλιον καὶ τῆς ὄρνιθος τῶν κρεῶν ἐπιθεὶς παρατίθει· τοῦ θέρους ἀντὶ τοῦ ὄξους τῆς ὄμφακος ἐμβαλὼν εἰς τὸν ζωμὸν ὡς ἔχει τοὺς βότρυς· ἐπειδὰν δὲ ἑφθὴ γένηται, ἔξελε μετὰ τοῦ βοτρυδίου πρὸ τοῦ τὸ γίγαρτον ἐξαφεῖναι, εἶθ' οὕτως τὸ λάχανον κατάθρυπτε. οὗτος ματτύης ἐν τοῖς ἡδίστοις.' ὅτι μὲν οὖν κοινὸν ἦν τοὔνομα τῶν πολυτελεστάτων ἐδεσμάτων φανερόν· ὅτι f δὲ καὶ ὁ τρόπος τῆς τοιαύτης εὐωχίας ὁμοίως ἐλέγετο Φιλήμων φησὶν ἐν Ἁρπαζομένῳ

γυμνῷ φυλακὴν ἐπίταττε, καὶ διὰ τριῶν
ποτηρίων με ματτύης εὐφραινέτω.

καὶ ἐν Ἀνδροφόνῳ

πιεῖν τις ἡμῖν ἐγχεάτω, καὶ ματτύην
ποιεῖτε θᾶττον.

Ἄλεξις δ' ἐν Πυραύνῳ ἀμφιβόλως εἴρηκεν

ἐγὼ δ' ἐπειδὰν ἀσχολουμένους λάβω, 664
ἀνέκραγον 'οὐ δώσει τις ἡμῖν ματτύην;'

ὥσπερ ἂν εἰ τὸ δεῖπνον ἔλεγεν. πιθανὸν δὲ καὶ ἰδίως ἐπὶ τῶν ἐδεσμάτων ἀναφέρειν. Μάχων δ' ὁ Σικυώνιος τῶν μὲν κατὰ Ἀπολλόδωρον τὸν Καρύστιον κωμῳδιοποιῶν εἷς ἐστὶ καὶ αὐτός, οὐκ ἐδίδαξε δ' Ἀθήνησι τὰς κωμῳδίας τὰς ἑαυτοῦ ἀλλ' ἐν Ἀλεξανδρείᾳ. ἦν δ' ἀγαθὸς ποιητὴς εἴ τις ἄλλος τῶν μετὰ τοὺς ἑπτά· διόπερ ὁ γραμματικὸς Ἀριστοφάνης ἐσπούδασε σχολάσαι αὐτῷ νέος ὤν. ἐποίησε δὲ καὶ οὗτος ἐν b δράματι Ἀγνοίᾳ ταυτί

ἥδιον οὐδέν ἐστί μοι τῆς ματτύης.
τοῦτ᾽ εἴτε πρῶτοι Μακεδόνες τοῖς Ἀττικοῖς
κατέδειξαν ἡμῖν εἴτε πάντες οἱ θεοὶ
οὐκ οἶδα, πλήν γ᾽ ὅτι μουσικωτάτου τινός.

85. ὅτι δὲ ὕστατον καὶ ἐπὶ πᾶσιν εἰσεφέρετο Νικόστρατός φησιν ἐν Ἀπελαυνομένῳ. μάγειρος δ᾽ ἐστὶν ὁ διηγούμενος ὡς λαμπρὰν καὶ εὔτακτον παρεσκεύασεν εὐωχίαν· προδιηγησάμενός τε οἷον ἦν τὸ
c ἄριστον καὶ τὸ δεῖπνον καὶ τρίτης μνησθεὶς παραθέσεως ἐπιφέρει

εὖ γ᾽, ἄνδρες, εὖ σφόδρ᾽· ἀλλὰ μὴν τῇ ματτύῃ
οὕτω διαθήσω τὰ μετὰ ταῦθ᾽ ὥστ᾽ οἴομαι
οὐδ᾽ αὐτὸν ἡμῖν τοῦτον ἀντερεῖν ἔτι.

καὶ ἐν Μαγείρῳ

θρῖον δὲ καὶ κάνδαυλον ἢ τούτων τι τῶν
εἰς ματτύην οὐδ᾽ ἕτερον εἶδε πώποτε.

ἄλλος δέ τίς φησι

περιφέρειν ματτύην καὶ ποδάριον
d καὶ γαστρίον τακερόν τι καὶ μήτρας ἴσως.

Διονύσιος δ᾽ ἐν Ἀκοντιζομένῳ· μάγειρος δέ ἐστιν ὁ λέγων

ὥστ᾽ ἐνίοτ᾽ ἂν τούτοισι ποιῶν ματτύην,
σπεύδων ἅμ᾽ εἰσήνεγκα διαμαρτὼν μίαν
ἄκων περιφορὰν τῶν νεκρῶν ὡς τὸν νεκρόν.

Φιλήμων ἐν Πτωχῇ

ἐξὸν ἀποσάττεσθαι δι᾽ ὅλην τὴν ἡμέραν
ποιοῦντα καὶ διδόντα ματτύας ἐκεῖ.

e Μόλπις δ᾽ ὁ Λάκων τὰ παρὰ τοῖς Σπαρτιάταις ἐπάικλα, ὃ σημαίνει τὰς ἐπιδειπνίδας, ματτύας φησὶ λέγεσθαι παρὰ τοῖς ἄλλοις. ὁ δὲ κυνικὸς Μένιππος ἐν τῷ ἐπιγραφομένῳ Ἀρκεσιλάῳ γράφει οὕτως· πότος ἦν ἐπικωμασάντων τινῶν καὶ ματτύην ἐκέλευσεν εἰσφέ-

*ρειν Λάκαινά τις· καὶ εὐθέως περιεφέρετο περδίκεια ὀλίγα καὶ χήνεια ὀπτὰ καὶ τρύφη πλακούντων.᾿ τὸ δὲ τοιοῦτον δεῖπνον οἱ μὲν Ἀττικοὶ προσηγόρευον ἐπιδόρπισμα, οἱ δὲ Δωριεῖς ἐπάικλον, τῶν δ᾿ ἄλλων Ἑλλήνων οἱ πλεῖστοι ἐπίδειπνα.* f

*τοσούτων καὶ περὶ τῆς ματτύης λεχθέντων ἔδοξεν ἀπιέναι· καὶ γὰρ ἑσπέρα ἦν ἤδη. διελύθημεν οὖν οὕτως.*

---

# ΙΕ

*Εἴ μοι τὸ νεστόρειον εὔγλωσσον μέλος* 665
*Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός,*

*κατὰ τὸν πάνσοφον Εὐριπίδην, ἑταῖρε Τιμόκρατες, οὐκ ἂν δυναίμην ἀπομνημονεύειν ἔτι σοι τῶν πολλάκις λεχθέντων ἐν τοῖς περισπουδάστοις τούτοις συμποσίοις, διά τε τὴν ποικιλίαν καὶ τὴν ὁμοιότητα τῶν ἀεὶ καινῶς προσευρισκομένων. καὶ γὰρ καὶ περὶ τάξεως τῶν περιφορῶν πολλάκις ἐλέχθη καὶ περὶ τῶν μετὰ τὸ δεῖπνον ἐπιτελουμένων, ἅπερ καὶ μόλις ἀναπεμπάζομαι, εἰπόντος τινὸς τῶν ἑταίρων τὰ ἐκ τῶν Λακώνων Πλάτωνος ἰαμβεῖα* b

*ἄνδρες δεδειπνήκασιν ἤδη σχεδὸν ἅπαντες.*
*Β. εὖ γε·*
*Α. τί οὐ τρέχων σὺ τὰς τραπέζας ἐκφέρεις;*
*ἐγὼ δὲ*
*νίπτρον παραχέων ἔρχομαι. Β. κἀγὼ δὲ παρα-*
*κορήσων,*

σπονδὰς δ᾽ ἔπειτα παραχέας τὸν κότταβον παροίσω·
c τὴν παῖδα τοὺς αὐλοὺς ἐχρῆν ἔχειν πάλαι προχείρους
καὶ προαναφυσᾶν. τὸ μύρον ἤδη παραχέων βαδίζω
αἰγύπτιον κᾆτ᾽ ἴρινον, στέφανον δ᾽ ἔπειθ᾽ ἑκάστῳ
δώσω φέρων τῶν ξυμποτῶν. νεοκρατά τις ποιείτω.

Γ. καὶ δὴ κέκραται . . . τὸν λιβανωτὸν ἐπιτίθησι.
d εἶτ᾽ ἐ[πάγει]
σπονδὴ μὲν ἤδη γέγονε καὶ πίνοντές εἰσι πόρρω·
καὶ σκόλιον ᾖσται, κότταβος δ᾽ ἐξοίχεται θύραζε.
αὐλοὺς δ᾽ ἔχουσά τις κορίσκη καρικὸν μέλος τι
μελίζεται τοῖς συμπόταις· κἄλλην τρίγωνον εἶδον
ἔχουσαν, εἶτ᾽ ᾖδεν πρὸς αὐτὸ μέλος ἰωνικόν τι.

2. μετὰ ταῦτ᾽ οἶμαι καὶ περὶ κοττάβων ζήτησις ἦν
e καὶ τῶν ἀποκοτταβιζόντων. οὓς οἰηθείς τις τῶν παρόντων ἰατρῶν εἶναι τούτων, οἳ ἀπὸ βαλανείου καθάρσεως ἕνεκα τοῦ στομάχου πίνοντες ἄμυστιν ἀποβλύζουσιν, ἔφη οὐκ εἶναι παλαιὰν ταύτην παράδοσιν, οὐδὲ εἰδέναι τινὰ τῶν ἀρχαίων ταύτῃ τῇ καθάρσει χρησάμενον. δι᾽ ὃ καὶ Ἐρασίστρατον τὸν
666 Ἰουλιήτην ἐν τῇ περὶ τῶν καθόλου πραγματείᾳ ἐπιτιμᾶν τοῖς τοῦτο ποιοῦσι, βλαπτικὸν ὀφθαλμῶν τὸ ἐπιχείρημα δεικνύων καὶ τῆς κάτω κοιλίας ἐπισχετικόν. πρὸς ὃν Οὐλπιανὸς ἔφη

ὄρσ᾽ Ἀσκληπιάδη, καλέει κρείων σε Χαρωνεύς.

οὐ γὰρ κακῶς τινὶ τῶν ἑταίρων ἡμῶν ἐλέχθη τὸ ʽ εἰ μὴ ἰατροὶ ἦσαν, οὐδὲν ἂν ἦν τῶν γραμματικῶν μωρότερον.᾽ τίς γὰρ ἡμῶν οὐκ οἶδεν ὅτι οὐκ ἦν οὗτος ὁ απο-

κοτταβισμὸς ἀρχαῖος; εἰ μή τι σὺ καὶ τοὺς Ἀμειψίου [ἀποκοτταβίζοντας] ἀποβλύζειν ὑπολαμβάνεις. ἐπεὶ οὖν ἄπειρος εἶ τῆς τοιαύτης θεωρίας, μάθε παρ᾽ ἐμοῦ ὅτι πρῶτον μὲν ἡ τῶν κοττάβων παιδιὰ σικελική b ἐστιν εὕρεσις, ταύτην πρώτων εὑρόντων Σικελῶν, ὡς Κριτίας φησὶν ὁ Καλλαίσχρου ἐν τοῖς ἐλεγείοις διὰ τούτων

κότταβος ἐκ σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα.

Δικαίαρχος δ᾽ ὁ Μεσσήνιος Ἀριστοτέλους μαθητὴς ἐν τῷ περὶ Ἀλκαίου καὶ τὴν λατάγην φησὶν εἶναι σικελικὸν ὄνομα. λατάγη δ᾽ ἐστὶ τὸ ὑπολειπόμενον ἀπὸ c τοῦ ἐκποθέντος ποτηρίου ὑγρόν, ὃ συνεστραμμένῃ τῇ χειρὶ ἄνωθεν ἐρρίπτουν οἱ παίζοντες εἰς τὸ κοτταβεῖον. Κλείταρχος δ᾽ ἐν τῇ περὶ Γλωσσῶν πραγματείᾳ λατάγην Θεσσαλοὺς καὶ Ῥοδίους τὸν ἀπὸ τῶν ποτηρίων κότταβον λέγειν.

3. κότταβος δ᾽ ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, ὡς Εὐριπίδης παρίστησιν ἐν Οἰνεῖ λέγων οὕτως

πυκνοῖς δ᾽ ἔβαλλον βακχίου τοξεύμασιν
κάρα γέροντος· τὸν βαλόντα δὲ στέφειν
ἐγὼ ᾽τετάγμην, ἆθλα κοσσάβων διδούς.

ἐκαλεῖτο δὲ κότταβος καὶ τὸ ἄγγος εἰς ὃ ἔβαλλον τὰς d λάταγας, ὡς Κρατῖνος ἐν Νεμέσει δείκνυσι. Πλάτων δ᾽ ἐν Διὶ κακουμένῳ παιδιᾶς εἶδος παροίνιον τὸν κότταβον εἶναι ἀποδίδωσιν, ἐν ᾗ ἐξίσταντο καὶ τῶν σκευαρίων οἱ δυσκυβοῦντες. λέγει δ᾽ οὕτως

πρὸς κότταβον παίζειν, ἕως ἂν σφῷν ἐγὼ
τὸ δεῖπνον ἔνδον σκευάσω. Β. πάνυ βούλομαι.
ἀλλ᾽ ἃ νόμος ἔστ᾽; Α. ἀλλ᾽ εἰς θυΐαν παιστέον.
φέρε τὴν θυΐαν, αἶρ᾽ ὕδωρ, ποτήρια

e παράθετε. Β. παίζωμεν δὲ περὶ φιλημάτων.
Α. . . . . ἀγεννῶς οὐκ ἐῶ
παίζειν. τίθεμαι δὲ κοττάβεια σφῷν ἐγὼ
τασδί τε τὰς κρηπῖδας, ἃς αὕτη φορεῖ,
καὶ τὸν κότυλον τὸν σόν. Β. βαβαιάξ· οὑτοσὶ
μείζων ἀγὼν τῆς ἰσθμιάδος ἐπέρχεται.

4. ἐκάλουν δὲ καὶ κατακτούς τινας κοττάβους. ἔστι δὲ λυχνία ἀναγόμενα πάλιν τε συμπίπτοντα. Εὔβουλος Βελλεροφόντῃ

τίς ἂν λάβοιτο τοῦ σκέλους κάτωθέ μοι;
f ἄνω γὰρ ὥσπερ κοττάβειον αἴρομαι.

Ἀντιφάνης δ' ἐν Ἀφροδίτης Γοναῖς

τονδὶ λέγω, σὺ δ' οὐ συνίῃς. κότταβος
τὸ λυχνίον ἐστί. πρόσεχε τὸν νοῦν. ᾠὰ μὲν
καὶ πέμμα καὶ τράγημα νικητήριον.
Β. περὶ τοῦ; γελοῖον. κοτταβιεῖτε τίνα τρόπον;
Α. ἐγὼ διδάξω καθ' ὅν. ὃς ἂν τὸν κότταβον
ἀφεὶς ἐπὶ τὴν πλάστιγγα ποιήσῃ πεσεῖν
Β. πλάστιγγα ποίαν; Α. τοῦτο τοὐπικείμενον
ἄνω τὸ μικρόν. Β. τὸ πινακίσκιον λέγεις;
667 Α. τοῦτ' ἐστὶ πλάστιγξ· οὗτος ὁ κρατῶν γίγνεται.
Β. πῶς δ' εἴσεταί τις τοῦτ'; Α. ἐὰν θίγῃ μόνον
αὐτῆς, ἐπὶ τὸν μάνην πεσεῖται καὶ ψόφος
ἔσται πάνυ πολύς. Β. πρὸς θεῶν, τῷ κοττάβῳ
πρόσεστι καὶ μάνης τις ὥσπερ οἰκέτης;

καὶ μετ' ὀλίγα

ᾧ δεῖ λαβεῖν τὸ ποτήριον δεῖξον νόμῳ.
Α. αὐλητικῶς δεῖ καρκινοῦν τοὺς δακτύλους,
οἶνόν τε μικρὸν ἐγχέαι καὶ μὴ πολύν·
b ἔπειτ' ἀφήσεις. Β. τίνα τρόπον; Α. δεῦρο βλέπε.
τοιοῦτον. Β. ὦ Πόσειδον, ὡς ὑψοῦ σφόδρα.
Α. οὕτω ποιήσεις. Β. ἀλλ' ἐγὼ μὲν σφενδόνῃ

οὐκ ἂν ἐφικοίμην αὐτόσ'. *Α.* ἀλλὰ μάνθανε.

5. ἀγκυλοῦντα γὰρ δεῖ σφόδρα τὴν χεῖρα εὐρύθμως πέμπειν τὸν κότταβον, ὥς Δικαίαρχός φησι, καὶ Πλάτων δ' ἐν τῷ Διὶ τῷ κακουμένῳ· παρακελεύεται δέ τις τῷ Ἡρακλεῖ μὴ σκληρὰν ἔχειν τὴν χεῖρα μέλλοντα κοτταβίζειν. ἐκάλουν δ' ἀπ' ἀγκύλης τὴν τοῦ c κοττάβου πρόεσιν διὰ τὸ ἀπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς. οἱ δὲ ποτηρίου εἶδος τὴν ἀγκύλην φασί. Βακχυλίδης ἐν Ἐρωτικοῖς

εὖτε τὴν ἀπ' ἀγκύλης ἵησι τοῖσδε τοῖς νεανίαις,
λευκὸν ἀντείνασα πῆχυν.

καὶ Αἰσχύλος δ' ἐν Ὀστολόγοις ἀγκυλητοὺς λέγει κοττάβους διὰ τούτων

Εὐρύμαχος οὐκ ἄλλος οὐδὲν ἥσσονας
ὕβριζ' ὑβρισμοὺς οὐκ ἐναισίους ἐμοί.
ἦν μὲν γὰρ αὐτῷ σκοπὸς ἀεὶ τοὐμὸν κάρα
τοῦ δ' ἀγκυλητοῦ κοσσάβιός ἐστι σκοπὸς d
ἐκτεμὼν ἡβῶσα χεὶρ ἐφίετο.

ὅτι δὲ ἆθλον προὔκειτο τῷ εὖ προεμένῳ τὸν κότταβον προείρηκε μὲν καὶ ὁ Ἀντιφάνης· ᾠὰ γάρ ἐστι καὶ πεμμάτια καὶ τραγήματα. ὁμοίως δὲ διεξέρχονται Κηφισόδωρος ἐν Τροφωνίῳ καὶ Καλλίας ἢ Διοκλῆς ἐν Κύκλωψι καὶ Εὔπολις . . . Ἕρμιππός τε ἐν τοῖς Ἰάμβοις. τὸ δὲ καλούμενον κατακτὸν κοττάβιον τοιοῦτόν ἐστι· λυχνίον ἐστὶν ὑψηλόν, ἔχον τὸν μάνην e καλούμενον, ἐφ' ὃν τὴν καταβαλλομένην ἔδει πεσεῖν πλάστιγγα πληγεῖσαν τῷ κοττάβῳ, ἐντεῦθεν δ' ἔπιπτεν εἰς λεκάνην ὑποκειμένην· καί τις ἦν ἀκριβὴς εὐχειρία τῆς βολῆς. μνημονεύει δὲ τοῦ μάνου Νικοχάρης ἐν Λάκωσιν.

6. ἕτερον δ' ἐστὶν εἶδος παιδιᾶς τῆς ἐν λεκάνῃ. αὕτη δ' ὕδατος πληροῦται, ἐπινεῖ τε ἐπ' αὐτῆς ὀξύ-

βαφα κενά, ἐφ' ἃ βάλλοντες τὰς λάταγας ἐκ καρχη-
σίων ἐπειρῶντο καταδύειν· ἀνῃρεῖτο δὲ τὰ κοττά-
f βια ὁ πλείω καταδύσας. Ἀμειψίας Ἀποκοτταβίζουσιν

ἡ Μανία, φέρ' ὀξύβαφα καὶ κανθάρους,
καὶ τὸν ποδανιπτῆρ' ἐγχέασα θὔδατος.

Κρατῖνος ἐν Νεμέσει

τῷ δὲ κοττάβῳ προθέντας ἐν πατρίοισι νόμοις
τὸ κεινέου ὀξυβάφοις βάλλειν μέτωπον·
τῷ δὲ βαλόντι νέμω πλεῖστα τύχης.

τὸ δ' ἆθλον Ἀριστοφάνης Δαιταλεῦσιν 'ἔγνωκ' ἐγὼ
668 δὲ χαλκίον (τοῦτ' ἐστὶ κοττάβειον) ἱστάναι καὶ μυρ-
ρίνας.' Ἕρμιππος Μοίραις

χλανίδες δ' οὖλαι καταβέβληνται,
θώρακα δ' ἅπας ἐμπερονᾶται,
κνημὶς δὲ περὶ σφυρὸν ἀρθροῦται,
βλαύτης δ' οὐδεὶς ἔτ' ἔρως λευκῆς,
ῥάβδον δ' ὄψει τὴν κοτταβικὴν
ἐν τοῖς ἀχύροισι κυλινδομένην,
μάνης δ' οὐδὲν λατάγων ἀίει·
τὴν δὲ τάλαιναν πλάστιγγ' ἂν ἴδοις
παρὰ τὸν στροφέα τῆς κηπαίας
ἐν τοῖσι κορήμασιν οὖσαν.

Ἀχαιὸς δ' ἐν Λίνῳ περὶ τῶν Σατύρων λέγων φησί

ῥίπτοντες, ἐκβάλλοντες, ἀγνύντες, τί μ' οὐ
b λέγοντες, ὦ κάλλιστον Ἡρακλεῖ λάταξ.

τοῦτο δὲ 'λέγοντες' παρ' ὅσον τῶν ἐρωμένων ἐμέ-
μνηντο, ἀφιέντες ἐπ' αὐτοῖς τοὺς λεγομένους κοσσά-
βους. διὸ καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ ἀφροδισίαν εἴρηκε
τὴν λάταγα

ξανθὴ δ' ἀφροδισία
λάταξ πᾶσιν ἐπεκτύπει
δόμοις.

καὶ Εὐριπίδης ἐν Πλεισθένει

πολὺς δὲ κοσσάβων ἀραγμὸς
Κύπριδος προσῳδὸν ἀχεῖ
μέλος ἐν δόμοισιν.

καὶ Καλλίμαχος δέ φησι

πολλοὶ καὶ φιλέοντες Ἀκόντιον ἧκαν ἔραζε
οἰνοπόται σικελὰς ἐκ κυλίκων λάταγας. c

7. ἦν δέ τι καὶ ἄλλο κοτταβίων εἶδος προτιθέμενον ἐν ταῖς παννυχίσιν, οὗ μνημονεύει καὶ Ἵππαρχος ἐν Παννυχίδι διὰ τούτων

ὁ διαγρυπνήσας πυραμοῦν-
τα λήψεται, καὶ τῶν παρου-
σῶν ἣν θέλει φιλήσει.

ἐγίνετο δὲ καὶ πεμμάτιά τινα ἐν ταῖς παννυχίσιν, ἐν αἷς πλεῖστον ὅσον χρόνον διηγρύπνουν χορεύοντες· καὶ διωνομάζετο τὰ πεμμάτια τότε χαρίσιοι, ἀπὸ τῆς τῶν ἀναιρουμένων χαρᾶς. μνημονεύει Εὔβουλος ἐν d
Ἀγκυλίωνι λέγων οὑτωσί

καὶ γὰρ πάλαι πέττει τὰ νικητήρια.

εἶθ' ἑξῆς φησίν

ἐξεπήδησ' ἀρτίως πέττουσα τὸν χαρίσιον.

ὅτι δὲ καὶ φίλημα ἦν ἆθλον ἑξῆς λέγει ὁ Εὔβουλος

εἶεν, γυναῖκες· νῦν ὅπως τὴν νύχθ' ὅλην
ἐν τῇ δεκάτῃ τοῦ παιδίου χορεύσετε.
θήσω δὲ νικητήριον τρεῖς ταινίας
καὶ μῆλα πέντε καὶ φιλήματ' ἐννέα.

ὅτι δὲ ἐσπούδαστο παρὰ τοῖς Σικελιώταις ὁ κότταβος δῆλον ἐκ τοῦ καὶ οἰκήματα ἐπιτήδεια τῇ παιδιᾷ κατα- e
σκευάζεσθαι, ὡς ἱστορεῖ Δικαίαρχος ἐν τῷ περὶ Ἀλκαίου. οὐκ ἀπεικότως οὖν οὐδ' ὁ Καλλίμαχος σικελὴν τὴν λάταγα προσηγόρευσε. μνημονεύει τῶν λα-

τάγων καὶ τῶν κοττάβων καὶ ὁ χαλκοῦς καλούμενος Διονύσιος ἐν τοῖς ἐλεγείοις διὰ τούτων

κότταβον ἐνθάδε σοι τρίτον ἑστάναι οἱ δυσέρωτες
f ἡμεῖς προστίθεμεν γυμνασίῳ Βρομίου
κώρυκον. οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες
ἐς σφαίρας κυλίκων, καὶ πρὶν ἐκεῖνον ἰδεῖν
ὄμματι βηματίσαισθε τὸν ἀέρα τὸν κατὰ κλίνην,
εἰς ὅσον αἱ λάταγες χωρίον ἐκτέταται.

8. ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ᾔτει πιεῖν μεγάλῃ κύλικι ἐπιλέγων ἐκ τῶν αὐτῶν ἐλεγείων καὶ τόδε

669 ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν,
τόνδε σὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίῃ γλώσσης ἀποπέμψομεν εἰς μέγαν αἶνον
τοῦδ᾽ ἐπὶ συμποσίου· δεξιότης τε λόγου
Φαίακος Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει.

κατὰ γὰρ τὸν νεώτερον Κρατῖνον, ὃς ἐν Ὀμφάλῃ φησί

πίνειν μένοντα τὸν καλῶς εὐδαίμονα
b κρεῖττον· μάχαι δ᾽ ἄλλοισι καὶ πόνος μέλοι.

πρὸς ὃν ὁ Κύνουλκος ἀεὶ τῷ Σύρῳ ἀντικορυσσόμενος καὶ οὐδέποτε τῆς φιλονεικίας παυόμενος ἧς εἶχε πρὸς αὐτόν, ἐπεὶ θόρυβος κατεῖχε τὸ συμπόσιον, ἔφη, τίς οὗτος ὁ τῶν συρβηνέων χορός; καὶ αὐτὸς δ᾽ ἐκ τούτων τῶν ἐπῶν μεμνημένος τινῶν ἐρῶ, ἵνα μὴ ὁ Οὐλπιανὸς βρενθύηται ὡς ἐκ τῶν ἀποθέτων τοῖς Ὁμηρίδαις μόνος ἀνασπάσας τὰ κοττάβεια

ἀγγελίας ἀγαθῆς δεῦρ᾽ ἴτε πευσόμενοι,
c καὶ κυλίκων ἔριδας διαλύσατε καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ᾽ ἐμοὶ καὶ τάδε μανθάνετε,

εἰς τὴν παροῦσαν ζήτησιν ἐπιτήδεια ὄντα. ὁρῶ γὰρ καὶ τοὺς παῖδας ἤδη φέροντας ἡμῖν στεφάνους καὶ μύρα. διὰ τί δὲ λέγονται τῶν ἐστεφανωμένων ἐὰν λύωνται οἱ στέφανοι, ὅτι ἐρῶσι; τοῦτο γὰρ ἐν παισί,

τὰ Καλλιμάχου ἀναγινώσκων ἐπιγράμματα, ὧν ἐστὶ καὶ τοῦτο, ἐπεζήτουν μαθεῖν, εἰπόντος τοῦ Κυρηναίου

τὰ δὲ ῥόδα φυλλοβολεῦντα d
τὠνδρὸς ἀπ' ὀστλίγγων πάντ' ἐγένοντο χαμαί.

σὸν οὖν ἐστίν, ὦ μουσικώτατε, τὴν χιλιετῆ μου ταύτην ζήτησιν ἀπολύσασθαι, Δημόκριτε, καὶ διὰ τί οἱ ἐρῶντες στεφανοῦσι τὰς τῶν ἐρωμένων θύρας.

9. καὶ ὁ Δημόκριτος, ἀλλ' ἵνα κἀγώ, φησί, μνημονεύσω τῶν τοῦ χαλκοῦ ποιητοῦ καὶ ῥήτορος Διονυσίου (χαλκοῦς δὲ προσηγορεύθη διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῷ νομίσματι χρήσασθαι, καὶ τὸν λόγον τοῦτον ἀνέγραψε Καλλίμαχος ἐν τῇ τῶν e ῥητορικῶν ἀπογραφῇ), λέξω τι καὶ αὐτὸς ἐκ τῶν ἐλεγείων. σὺ δέ, ὦ Θεόδωρε, τοῦτο γάρ σου τὸ κύριον ὄνομα,

δέχου τήνδε προπινομένην
τὴν ἀπ' ἐμοῦ ποίησιν. ἐγὼ δ' ἐπιδέξια πέμπω
σοὶ πρώτῳ χαρίτων ἐγκεράσας χάριτας.
καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι,
συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος.

φὴς οὖν, διὰ τί τῶν ἐστεφανωμένων ἐὰν λύηται ὁ f στέφανος ἐρᾶν λέγονται; πότερον ὅτι ὁ ἔρως τοῦ τῶν ἐρώντων ἤθους περιαιρεῖται τὸν κόσμον, διὰ τοῦτο τὴν τοῦ ἐπιφανοῦς κόσμου περιαίρεσιν φρυκτόν τινα, φησὶ Κλέαρχος ἐν πρώτῳ Ἐρωτικῶν, καὶ σημεῖον νομίζουσι τοῦ καὶ τὸν τοῦ ἤθους κόσμον περιῃρῆσθαι τοὺς τοιούτους; ἢ καθάπερ ἐπὶ τῆς μαντικῆς ἄλλα πολλά, καὶ τοῦτο σημειοῦνταί τινες; ὁ γὰρ ἐκ τοῦ 670 στεφάνου κόσμος οὐδὲν ἔχων μόνιμον σημεῖόν ἐστι πάθους ἀβεβαίου μέν, κεκαλλωπισμένου δέ. τοιοῦτος δ' ἐστὶν ὁ ἔρως· οὐδένες γὰρ μᾶλλον τῶν ἐν

τῷ ἐρᾶν ὄντων καλλωπίζονται, εἰ μὴ ἄρα ἡ φύσις
οἱονεί τι δαιμόνιον δικαίως βραβεύουσα τῶν πραγ-
μάτων ἕκαστον οἴεται δεῖν τοὺς ἐρῶντας μὴ στεφα-
νοῦσθαι πρὶν ἂν κρατήσωσι τοῦ ἔρωτος· τοῦτο δ'
ἐστὶν ὅταν κατεργασάμενοι τὸν ἐρώμενον ἀπαλλα-
γῶσι τῆς ἐπιθυμίας. τὴν ἀφαίρεσιν οὖν τοῦ στεφά-
νου σημεῖον τοῦ ἔτι ἐν τῷ διαγωνίζεσθαι εἶναι ποι-
b οὐμεθα. ἢ ὁ Ἔρως αὐτὸς οὐκ ἐῶν καθ' αὐτοῦ στε-
φανοῦσθαι καὶ ἀνακηρύττεσθαι τῶν μὲν τὸν στέφα-
νον περιαιρεῖται, τοῖς δὲ λοιποῖς ἐνδίδωσιν αἴσθησιν,
μηνύων ὅτι ἡττῶνται ὑπὸ αὐτοῦ, δι' ὃ ἐρᾶν οἱ λοιποὶ
τοὺς τοιούτους φασίν; ἢ ὅτι λύεται μὲν πᾶν τὸ δεδε-
μένον, ὁ δὲ ἔρως στεφανουμένων τινῶν δεσμός ἐστι,
(οὐδένες γὰρ ἄλλοι τῶν δεδεμένων περὶ τὸ στεφα-
νοῦσθαι σπουδάζουσι πλὴν οἱ ἐρῶντες) τὴν τοῦ στε-
φάνου δήλωσιν σημεῖον τοῦ περὶ τὸν ἔρωτα δεσμοῦ
νομίζοντες ἐρᾶν φασὶ τοὺς τοιούτους; ἢ διὰ τὸ πολ-
c λάκις τοὺς ἐρῶντας διὰ τὴν πτοίησιν, ὡς ἔοικε, στε-
φανουμένους περιρρεῖν αὐτῶν τὸν στέφανον, ἀντι-
στρέφομεν τῇ ὑπονοίᾳ τὸ πάθος, ὡς οὐκ ἄν ποτε τοῦ
στεφάνου περιρρέοντος εἰ μὴ ἤρων; ἢ ὅτι ἀναλύσεις
περὶ μόνους μάλιστα τοὺς ἐρῶντας καὶ καταδεδεμέ-
νους γίνονται, τὴν δὲ τοῦ στεφάνου ἀνάλυσιν κατα-
δεδεμένων τινῶν εἶναι νομίζοντες ἐρᾶν φασὶ τοὺς
τοιούτους; καταδέδενται γὰρ οἱ ἐρῶντες, εἰ μὴ ἄρα
διὰ τὸ κατεστέφθαι τῷ ἔρωτι τοὺς ἐρῶντας οὐκ ἐπί-
d μονος αὐτῶν ὁ στέφανος γίνεται. χαλεπὸν γὰρ ἐπὶ
μεγάλῳ καὶ θείῳ στεφάνῳ μικρὸν καὶ τὸν τυχόντα
θεῖναι. στεφανοῦσι δὲ τὰς τῶν ἐρωμένων θύρας ἤτοι
τιμῆς χάριν, καθαπερεί τινος θεοῦ, τὰ πρόθυρα στε-
φανοῦσιν αὐτῶν· ἢ οὐ τοῖς ἐρωμένοις ἀλλὰ τῷ Ἔρωτι
ποιούμενοι τὴν τῶν στεφάνων ἀνάθεσιν, τοῦ μὲν

Ἔρωτος τὸν ἐρώμενον ἄγαλμα, τούτου δὲ ναὸν ὄντα τὴν οἴκησιν, στεφανοῦσι τὰ τῶν ἐρωμένων πρόθυρα· διὰ ταῦτα δὲ καὶ θύουσιν ἔνιοι ἐπὶ ταῖς τῶν ἐρωμένων θύραις. ἢ μᾶλλον ὑφ᾽ ὧν οἴονταί τε καὶ πρὸς e ἀλήθειαν τὸν τῆς ψυχῆς κόσμον ἐσκύλευνται, καὶ τὸν τοῦ σώματος κόσμον ὑπὸ τοῦ πάθους ἐξαγόμενοι καὶ σκυλεύοντες ἑαυτοὺς ἀνατιθέασι. πᾶς δ᾽ ὁ ἐρῶν τοῦτο δρᾷ μὲν παρόντος, μὴ παρόντος δὲ τοῦ ἐρωμένου τοῦ ἐμποδὼν ποιεῖται τὴν ἀνάθεσιν. ὅθεν Λυκοφρονίδης τὸν ἐρῶντα ἐκεῖνον αἰπόλον ἐποίησε λέγοντα

τόδ᾽ ἀνατίθημί σοι ῥόδον
καλὸν ἄνθημα καὶ πέδιλα καὶ κυνέαν
καὶ τὰν θηροφόνον λογχίδ᾽, ἐπεί μοι νόος ἄλλᾳ κέχυται
ἐπὶ τὰν Χάρισι φίλαν παῖδα καὶ καλάν. f

10. ἀλλὰ μὴν καὶ ὁ ἱερώτατος Πλάτων ἐν ἑβδόμῳ Νόμων πρόβλημά τι προβάλλει στεφανωτικόν, ὅπερ ἄξιόν ἐστιν ἐπιλύσασθαι, οὕτως λέγοντος τοῦ φιλοσόφου ‘μήλων τε τινῶν διανομαὶ καὶ στεφάνων πλείοσιν ἅμα καὶ ἐλάττοσιν ἁρμοττόντων τῶν ἀριθμῶν τῶν αὐτῶν.’ ὁ μὲν Πλάτων οὕτως εἶπεν. ἔστι δ᾽ ὃ λέγει τοιοῦτον· ἕνα βούλεσθαι ἀριθμὸν εὑρεῖν, ᾧ ἕως τοῦ τελευταίου εἰσελθόντος ἐξ ἴσου πάντες ἕξουσιν ἤτοι μῆλα ἢ στεφάνους. φημὶ οὖν τὸν ἑξήκοντα 671 ἀριθμὸν εἰς ἓξ συμπότας δύνασθαι τὴν ἰσότητα πληροῦν. οἶδα γὰρ ὅτι κατ᾽ ἀρχὰς ἐλέγομεν μὴ συνδειπνεῖν τῶν πέντε γε πλείους· ὅτι δ᾽ ἡμεῖς ψαμμακόσιοι ἐσμὲν δῆλον. ὁ οὖν ἑξήκοντα ἀριθμὸς εἰς ἓξ τοὺς συμπληρωθέντας τοῦ συμποσίου ἄρξεται οὕτως. εἰσῆλθεν εἰς τὸ συμπόσιον ὁ πρῶτος καὶ ἔλαβε στεφάνους ἑξήκοντα· ἐπεισελθόντι δὲ τῷ δευτέρῳ δίδωσι τοὺς ἡμίσεις καὶ ἑκατέρῳ γίνονται τριάκοντα· καὶ b

τρίτῳ ἐπεισελθόντι συνδιαιρούμενοι τοὺς πάντας ἐξ εἴκοσιν ἔχουσι. τετάρτῳ πάλιν ὁμοίως κοινωνήσαντες ἐκ πεντεκαίδεκα γίνονται· πέμπτῳ δὲ ἐκ δώδεκα καὶ τῷ ἕκτῳ ἐκ δέκα. καὶ οὕτως ἰσότης ἀναπληροῦται τῶν στεφάνων.

11. ταῦτ' εἰπόντος τοῦ Δημοκρίτου ὁ Οὐλπιανὸς ἀποβλέψας πρὸς τὸν Κύνουλκον

οἵῳ μ' ὁ δαίμων (ἔφη) φιλοσόφῳ συνῴκισεν,

κατὰ τὸ Θεογνήτου τοῦ κωμῳδιοποιοῦ Φάσμα,

ἐπαρίστερ' ἔμαθες, ὦ πόνηρε, γράμματα·
c ἀνέστροφέν σου τὸν βίον τὰ βιβλία·
πεφιλοσόφηκας γῇ τε κοὐρανῷ λαλῶν,
οἷς οὐδέν ἐστιν ἐπιμελὲς τῶν σῶν λόγων.

πόθεν γάρ σοι καὶ ὁ τῶν συρβηνέων ἐπῆλθε χορός; τίς τῶν ἀξίων λόγου μέμνηται τοῦ μουσικοῦ τούτου χοροῦ; καὶ ὅς, οὐ πρότερον, ἔφη, ὦ οὗτος, διδάξω σε, πρὶν ἂν τὸν ἄξιον παρὰ σοῦ λάβω μισθόν. οὐ γὰρ ἐγὼ τὰς ἐκ τῶν βιβλίων ἀκάνθας ὥσπερ σὺ ἀναγινώσκων ἐκλέγω, ἀλλὰ τὰ χρησιμώτατα καὶ ἀκοῆς ἄξια.
d ἐπὶ τούτοις ὁ Οὐλπιανὸς δυσχεράνας ἀνεβόησε τὰ ἐξ Ὕπνου Ἀλέξιδος

οὐδ' ἐν Τριβαλλοῖς ταῦτά γ' ἐστὶν ἔννομα·
οὗ φασὶ τὸν θύοντα τοῖς κεκλημένοις
δείξαντ' ἰδεῖν τὸ δεῖπνον εἰς τὴν αὔριον
πωλεῖν ἀδείπνοις ἃ παρέθηκ' αὐτοῖς ἰδεῖν.

τὰ αὐτὰ ἰαμβεῖα φέρεται καὶ παρ' Ἀντιφάνει ἐν Ὕπνῳ. καὶ ὁ Κύνουλκος, ἐπεὶ περὶ στεφάνων ζητή-
e σεις ἤδη γεγόνασιν, εἰπὲ ἡμῖν τίς ἐστιν ὁ παρὰ τῷ χαρίεντι Ἀνακρέοντι ναυκρατίτης στέφανος, ὦ Οὐλπιανέ. φησὶ γὰρ οὕτως ὁ μελιχρὸς ποιητής

στεφάνους δ' ἀνὴρ τρεῖς ἕκαστος εἶχεν,
τοὺς μὲν ῥοδίνους, τὸν δὲ ναυκρατίτην.

καὶ διὰ τί παρὰ τῷ αὐτῷ ποιητῇ λύγῳ τινὲς στεφανοῦνται; φησὶ γὰρ ἐν τῷ δευτέρῳ τῶν μελῶν

Μεγίστης δ' ὁ φιλόφρων δέκα δὴ μῆνες ἐπειδὴ f
στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιηδέα.

ὁ γὰρ τῆς λύγου στέφανος ἄτοπος· πρὸς δεσμοὺς γὰρ καὶ πλέγματα ἡ λύγος ἐπιτήδειος. εἰπὲ οὖν ἡμῖν τι περὶ τούτων ζητήσεως ἀξίων ὄντων καὶ μὴ ὀνόματα θήρα, φιλότης.

12. σιωπῶντος δ' αὐτοῦ καὶ ἀναζητεῖν προσποιουμένου ὁ Δημόκριτος ἔφη, Ἀρίσταρχος ὁ γραμματικώτατος, ἑταῖρε, ἐξηγούμενος τὸ χωρίον ἔφη ὅτι καὶ 672 λύγοις ἐστεφανοῦντο οἱ ἀρχαῖοι. Ταίναρος δὲ ἀγροίκων εἶναι λέγει στεφάνωμα τὴν λύγον. καὶ οἱ ἄλλοι δὲ ἐξηγηταὶ ἀπροσδιόνυσά τινα εἰρήκασι περὶ τοῦ προκειμένου. ἐγὼ δ' ἐντυχὼν τῷ Μηνοδότου τοῦ Σαμίου συγγράμματι, ὅπερ ἐπιγράφεται 'τῶν κατὰ τὴν Σάμον ἐνδόξων ἀναγραφή,' εὗρον τὸ ζητούμενον. Ἀδμήτην γάρ φησι τὴν Εὐρυσθέως ἐξ Ἄργους φυγοῦσαν ἐλθεῖν εἰς Σάμον, θεασαμένην δὲ τὴν τῆς Ἥρας ἐπιφάνειαν καὶ τῆς οἴκοθεν σωτηρίας χαριστήριον βουλομένην ἀποδοῦναι ἐπιμεληθῆναι τοῦ ἱεροῦ τοῦ b καὶ νῦν ὑπάρχοντος, πρότερον δὲ ὑπὸ Λελέγων καὶ Μιλυῶν καθιδρυμένου· τοὺς δ' Ἀργείους πυθομένους καὶ χαλεπαίνοντας πεῖσαι χρημάτων ὑποσχέσει Τυρρηνοὺς λῃστρικῷ τῷ βίῳ χρωμένους ἁρπάσαι τὸ βρέτας, πεπεισμένους τοὺς Ἀργείους ὡς, εἰ τοῦτο γένοιτο, πάντως τι κακὸν πρὸς τῶν τὴν Σάμον κατοικούντων ἡ Ἀδμήτη πείσεται. τοὺς δὲ Τυρρηνοὺς ἐλθόντας εἰς τὸν Ἡραΐτην ὅρμον καὶ διαβάντας εὐθέως ἔχεσθαι τῆς πράξεως, ἀθύρου δὲ ὄντος τότε τοῦ νεὼ ταχέως ἀνελέσθαι τὸ βρέτας καὶ διακομίσαντας ἐπὶ θάλασσαν εἰς τὸ σκάφος ἐμβαλέσθαι· λυσαμένους δ' c

αὐτοὺς τὰ πρυμνήσια καὶ τὰς ἀγκύρας ἀνελομένους εἰρεσίᾳ τε πάσῃ χρωμένους ἀπείρειν οὐ δύνασθαι. ἡγησαμένους οὖν θεῖον τοῦτ' εἶναι πάλιν ἐξενεγκαμένους τῆς νεὼς τὸ βρέτας ἀποθέσθαι παρὰ τὸν αἰγιαλόν, καὶ ψαιστὰ αὐτῷ ποιήσαντας περιδεεῖς ἀπαλλάττεσθαι. τῆς δὲ Ἀδμήτης ἕωθεν δηλωσάσης ὅτι τὸ βρέτας ἠφανίσθη καὶ ζητήσεως γενομένης εὑρεῖν μὲν αὐτὸ τοὺς ζητοῦντας ἐπὶ τῆς ᾐόνος, ὡς δ' ἂν βαρ-
d βάρους Κᾶρας ὑπονοήσαντας αὐτόματον ἀποδεδρακέναι πρός τι λύγου θωράκιον ἀπερείσασθαι καὶ τοὺς εὐμηκεστάτους τῶν κλάδων ἑκατέρωθεν ἐπισπασαμένους περιειλῆσαι πάντοθεν· τὴν δὲ Ἀδμήτην λύσασαν αὐτὸ ἁγνίσαι καὶ στῆσαι πάλιν ἐπὶ τοῦ βάθρου, καθάπερ πρότερον ἵδρυτο. διόπερ ἐξ ἐκείνου καθ' ἕκαστον ἔτος ἀποκομίζεσθαι τὸ βρέτας εἰς τὴν ᾐόνα καὶ ἀφαγνίζεσθαι ψαιστά τε αὐτῷ παρατίθεσθαι· καὶ
e καλεῖσθαι τόνεια τὴν ἑορτήν, ὅτι τόνοις συνέβη περιειληθῆναι τὸ βρέτας ὑπὸ τῶν τὴν πρώτην αὐτοῦ ζήτησιν ποιησαμένων.

13. ἱστορεῖται δ' ὑπ' αὐτὸν ἐκεῖνον τὸν χρόνον τῶν Καρῶν δεισιδαιμονίᾳ περισχεθέντων, ἐπὶ τὸ μαντεῖον τοῦ θεοῦ παραγενομένων εἰς Ὕβλαν καὶ πυνθανομένων περὶ τῶν ἀπηντημένων, θεσπίσαι τὸν Ἀπόλλωνα ποινὴν αὐτοὺς ἀποδοῦναι τῇ θεῷ δι' ἑαυτῶν ἑκούσιον καὶ χωρὶς δυσχεροῦς συμφορᾶς, ἣν ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀφώρισεν ὁ Ζεὺς τῷ Προμη-
f θεῖ χάριν τῆς κλοπῆς τοῦ πυρός, λύσας αὐτὸν ἐκ τῶν χαλεπωτάτων δεσμῶν· καὶ τίσιν ἑκούσιον ἐν ἀλυπίᾳ κειμένην δοῦναι θελήσαντος, ταύτην ἔχειν ἐπιτάξαι τὸν καθηγούμενον τῶν θεῶν. ὅθεν ἀπ' ἐκείνου τὸν δεδηλωμένον στέφανον τῷ Προμηθεῖ περιγενέσθαι καὶ μετ' οὐ πολὺ τοῖς εὐεργετηθεῖσιν ἀνθρώποις ὑπ'

αὐτοῦ κατὰ τὴν τοῦ πυρὸς δωρεάν. διόπερ καὶ τοῖς Καρσὶ κατὰ τὸ παραπλήσιον ἔθος παρεκελεύσατο στεφανώματι χρωμένοις τῇ λύγῳ καταδεῖν τὴν ἑαυτῶν κεφαλὴν τοῖς κλάδοις οἷς αὐτοὶ κατέλαβον τὴν θεόν. καταλῦσαι δὲ καὶ τἄλλα γένη τῶν στεφάνων 673 ἐπέταξε χωρὶς τῆς δάφνης· τὴν δ᾽ αὐτὸς ἔφη τοῖς τὴν θεὸν θεραπεύουσι μόνοις ἀπονέμειν δῶρον. τοῖς τε χρησθεῖσιν ἐκ τῆς μαντείας κατακολουθήσαντας αὐτοὺς ἀβλαβεῖς ἔσεσθαι καὶ δίκην ἐν εὐωχίαις ἀποδιδόντας τῇ θεῷ τὴν προσήκουσαν. ὅθεν τοὺς Κᾶρας ὑπακοῦσαι βουλομένους τοῖς ἐκ τοῦ χρηστηρίου καταλῦσαι τὰς ἔμπροσθεν εἰθισμένας στεφανώσεις, αὐτούς τε κατὰ πλῆθος χρῆσθαι μὲν τῇ λύγῳ, τοῖς δὲ θεραπεύουσι τὴν θεὸν ἐπιτρέψαι φορεῖν τὸν καὶ νῦν b ἔτι διαμένοντα τῆς δάφνης στέφανον.

14. μνημονεύειν δ᾽ ἔοικεν ἐπὶ ποσόν τι τῆς κατὰ τὴν λύγον στεφανώσεως καὶ Νικαίνετος ὁ ἐποποιὸς ἐν τοῖς ἐπιγράμμασι, ποιητὴς ὑπάρχων ἐπιχώριος καὶ τὴν ἐπιχώριον ἱστορίαν ἠγαπηκὼς ἐν πλείοσι. λέγει δ᾽ οὕτως

οὐκ ἐθέλω, Φιλόθηρε, κατὰ πτόλιν ἀλλὰ παρ᾽ Ἥρῃ
    δαίνυσθαι ζεφύρου πνεύμασι τερπόμενος.
ἀρκεῖ μοι λιτὴ μὲν ὑπὸ πλευροῖσι χαμευνάς·
    ἐγγύθι γὰρ προμάλου δέμνιον ἐνδαπίης c
καὶ λύγος, ἀρχαῖον Καρῶν στέφος. ἀλλὰ φερέσθω
    οἶνος καὶ Μουσῶν ἡ χαρίεσσα λύρη,
θυμῆρες πίνοντες ὅπως Διὸς εὐκλέα νύμφην
    μέλπωμεν, νήσου δεσπότιν ἡμετέρης.

ἐν τούτοις γὰρ ἀμφιβόλως εἰρηκὼς ὁ Νικαίνετος πότερον στρωμνῆς ἕνεκεν ἢ στεφανώσεως ἀρκεῖται τῇ λύγῳ, τῷ λέγειν αὐτὴν τῶν Καρῶν ἀρχαῖον στέφος d πρόδηλον καθίστησι τὸ ζητούμενον. συνέβη δὲ τὴν

τῆς λύγου στεφάνωσιν καὶ μέχρι τῶν κατὰ Πολυκράτην χρόνων, ὡς ἄν τις εἰκάσειε, τῇ νήσῳ συνηθεστέραν ὑπάρχειν. ὁ γοῦν Ἀνακρέων φησί

*Μεγίστης ὁ φιλόφρων δέκα δὴ μῆνες ἐπειδὴ*
*στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιηδέα.*

15. ταῦτα ἴσασιν οἱ θεοὶ ὡς πρῶτος αὐτὸς ἐν τῇ καλῇ Ἀλεξανδρείᾳ εὗρον κτησάμενος τὸ τοῦ Μηνοδότου συγγραμμάτιον καὶ ἐπιδείξας πολλοῖς ἐξ αὐτοῦ
e τὸ παρὰ τῷ Ἀνακρέοντι ζητούμενον, λαβὼν δὲ παρ' ἐμοῦ ὁ πᾶσι κλοπὴν ὀνειδίζων Ἡφαιστίων ἐξιδιοποιήσατο τὴν λύσιν, καὶ σύγγραμμα ἐξέδωκεν ἐπιγράψας περὶ τοῦ παρ' Ἀνακρέοντι λυγίνου στεφάνου, ὅπερ νῦν ἐν τῇ Ῥώμῃ εὕρομεν παρὰ τῷ Ἀντικοττύρᾳ Δημητρίῳ. τοιοῦτος δέ τις καὶ [ὁ Ἡφαιστίων συγγραφεὺς καὶ] περὶ τὸν καλὸν ἡμῶν Ἄδραντον ἐγένετο. ἐκδόντος γὰρ τούτου πέντε μὲν βιβλία περὶ τῶν παρὰ Θεοφράστῳ ἐν τοῖς περὶ ἠθῶν καθ' ἱστορίαν καὶ λέξιν ζητουμένων, ἕκτον δὲ περὶ τῶν ἐν τοῖς Ἠθικοῖς
f Νικομαχείοις Ἀριστοτέλους, ἐν οἷς ἀμφιλαφῶς παραθεμένου περὶ τοῦ παρὰ Ἀντιφῶντι τῷ τραγῳδιοποιῷ Πληξίππου, καὶ πλεῖστα ὅσα καὶ περὶ αὐτοῦ τοῦ Ἀντιφῶντος εἰπόντος, σφετερισάμενος καὶ ταῦτ' ἐπέγραψέ τι βιβλίον περὶ τοῦ παρὰ Ξενοφῶντι ἐν τοῖς ἀπομνημονεύμασιν Ἀντιφῶντος, οὐδὲν ἴδιον προσεξευρών, ὥσπερ κἀν τῷ περὶ τοῦ λυγίνου στεφάνου. μόνον γὰρ τοῦτ' ἴδιον εἴρηκεν ὅτι Φύλαρχος ἐν τῇ ἑβδόμῃ τῶν ἱστοριῶν οἶδε τὴν κατὰ λύγον ἱστορίαν,
674 καὶ ὅτι οὔτε τὰ Νικαινέτου οἶδεν οὔτε τὰ Ἀνακρέοντος ὁ συγγραφεύς· ἀπέδειξέ τε καὶ διαφωνοῦντα αὐτὸν κατ' ἔνια τῶν ἱστορηθέντων παρὰ τῷ Μηνοδότῳ. δύναται δέ τις λέγειν περὶ τῆς λύγου ἁπλούστερον ὅτι ὁ Μεγίστης τῇ λύγῳ ἐστεφανοῦτο, ὡς παρακει-

μένης ἐκ τοῦ δαψιλοῦς ἐν ᾧ εὐωχεῖτο τόπῳ, συνδέσεως ἕνεκα τῶν κροτάφων. καὶ γὰρ καὶ Λακεδαιμόνιοι καλάμῳ στεφανοῦνται ἐν τῇ τῶν προμαχίων ἑορτῇ, ὥς φησι Σωσίβιος ἐν τοῖς περὶ τῶν ἐν Λακεδαίμονι θυσιῶν γράφων οὕτως ʽἐν ταύτῃ συμβαίνει τοὺς μὲν ἀπὸ τῆς χώρας καλάμοις στεφανοῦσθαι ἢ b
στλεγγίδι, τοὺς δʼ ἐκ τῆς ἀγωγῆς παῖδας ἀστεφανώτους ἀκολουθεῖν.ʼ

16. Ἀριστοτέλης δʼ ἐν δευτέρῳ Ἐρωτικῶν καὶ Ἀρίστων ὁ περιπατητικός, Κεῖος δὲ τὸ γένος, ἐν δευτέρῳ Ἐρωτικῶν ὁμοίων φασὶν ὅτι οἱ ἀρχαῖοι διὰ τοὺς περὶ τὸν οἶνον πόνους τῶν κεφαλαλγιῶν δεσμοὺς εὕρισκον τοὺς τυχόντας, τῆς τῶν κροτάφων συνδέσεως ὠφελεῖν δοκούσης· οἱ δʼ ὕστερον ἅμα τῷ κροτάφῳ προσέβαλόν τινα καὶ κόσμον οἰκεῖον τῇ παρὰ τὸν οἶνον διαγωγῇ, μηχανησάμενοι τὸν στέφανον. βέλτιον δὲ διὰ τὸ πάσας τὰς αἰσθήσεις ἐν τῇ κεφαλῇ c
εἶναι ταύτην στεφανοῦσθαι ἢ διὰ τὸ συμφέρειν ἐσκεπάσθαι καὶ συνδεδέσθαι τοὺς κροτάφους πρὸς τὸν οἶνον.ʼ ἐστεφανοῦντο δὲ καὶ τὸ μέτωπον, ὡς ὁ καλὸς Ἀνακρέων ἔφη

ἐπὶ δʼ ὀφρύσιν σελίνων στεφανίσκους
θέμενοι θάλειαν ὁρτὴν ἀγάγωμεν Διονύσῳ.

ἐστεφανοῦντο δὲ καὶ τὰ στήθη καὶ ἐμύρουν ταῦτα, ἐπεὶ αὐτόθι ἡ καρδία. ἐκάλουν δὲ καὶ οἷς περιεδέοντο τὸν τράχηλον στεφάνους ὑποθυμιάδας, ὡς Ἀλκαῖος ἐν τούτοις

ἀλλʼ ἀνήτω μὲν περὶ ταῖς δέραις d
περθέτω πλέκταις ὑποθύμιδας.

καὶ Σαπφώ

καὶ πόλλαις ὑποθύμιδας
πλέκταις ἀμπʼ ἀπάλᾳ δέρᾳ.

καὶ Ἀνακρέων

πλεκτὰς δ' ὑποθυμίδας
περὶ στήθεσι λωτίνας
ἔθεντο.

Αἰσχύλος δ' ἐν τῷ λυομένῳ Προμηθεῖ σαφῶς φησὶν ὅτι ἐπὶ τιμῇ τοῦ Προμηθέως τὸν στέφανον περιτίθεμεν τῇ κεφαλῇ ἀντίποινα τοῦ ἐκείνου δεσμοῦ, καίτοι ἐν τῇ ἐπιγραφομένῃ Σφιγγὶ εἰπών

τῷ δὲ ξένῳ γε στέφανον, ἀρχαῖον στέφος·
e δεσμῶν ἄριστος ἐκ Προμηθέως λόγου.

Σαπφὼ δ' ἁπλούστερον τὴν αἰτίαν ἀποδίδωσι τοῦ στεφανοῦσθαι ἡμᾶς λέγουσα τάδε

σὺ δὲ στεφάνοις, ὦ Δίκα, περθέσθ' ἐράταις φόβαισιν
ὄρπακας ἀνήτοιο συνέρραισ' ἀπάλαισι χέρσιν.
εὐάνθεα γὰρ πέλεται καὶ χάριτες μάκαιρα
μᾶλλον προτόρην, ἀστεφανώτοισι δ' ἀπυστρέφονται.

ὡς εὐανθέστερον γὰρ καὶ κεχαρισμένον μᾶλλον τοῖς θεοῖς παραγγέλλει στεφανοῦσθαι τοὺς θύοντας. Ἀρι-
f στοτέλης δ' ἐν τῷ Συμποσίῳ φησὶν ὅτι οὐδὲν κολοβὸν προσφέρομεν πρὸς τοὺς θεούς, ἀλλὰ τέλεια καὶ ὅλα. τὸ δὲ πλῆρες τέλειόν ἐστι. τὸ δὲ στέφειν πλήρωσίν τινα σημαίνει. Ὅμηρος

κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.

καὶ

ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει.

τοὺς γὰρ αὖ τὴν ὄψιν ἀμόρφους, φησίν, ἀναπληροῖ ἡ
675 τοῦ λέγειν πιθανότης. ἔοικεν οὖν ὁ στέφανος τοῦτο ποιεῖν βούλεσθαι. διὸ καὶ περὶ τὰ πένθη τοὐναντίον παρασκευάζομεν. ὁμοπαθείᾳ γὰρ τοῦ κεκμηκότος

κολοβοῦμεν ἡμᾶς αὐτοὺς τῇ τε κουρᾷ τῶν τριχῶν καὶ τῇ τῶν στεφάνων ἀφαιρέσει.

17. Φιλωνίδης δ' ὁ ἰατρὸς ἐν τῷ περὶ μύρων καὶ στεφάνων 'ἐκ τῆς ἐρυθρᾶς (φησὶ) θαλάττης ὑπὸ Διονύσου μετενεχθείσης εἰς τὴν Ἑλλάδα τῆς ἀμπέλου καὶ πρὸς ἄμετρον ἀπόλαυσιν τῶν πολλῶν ἐκτρεπομένων ἄκρατόν τε προσφερομένων, αὐτίκα οἳ μὲν αὐτῶν b μανιωδῶς ἐκτρεπόμενοι παρέπαιον οἳ δὲ νεκροῖς ἐῴκεσαν ἀπὸ τῆς καρώσεως. ἐπ' ἀκτῆς δέ τινων πινόντων ἐπιπεσὼν ὄμβρος τὸ μὲν συμπόσιον διέλυσε, τὸν δὲ κρατῆρα, ὃς εἶχεν ὀλίγον οἶνον ὑπολελειμμένον, ἐπλήρωσεν ὕδατος. γενομένης δ' αἰθρίας εἰς τὸν αὐτὸν ὑποστρέψαντες τόπον, γευσάμενοι τοῦ μίγματος προσηνῆ καὶ ἄλυπον ἔσχον ἀπόλαυσιν. καὶ διὰ τοῦθ' οἱ Ἕλληνες τῷ μὲν παρὰ δεῖπνον ἀκράτῳ προσδιδομένῳ τὸν ἀγαθὸν ἐπιφωνοῦσι δαίμονα, τιμῶντες τὸν εὑρόντα δαίμονα. ἦν δ' οὗτος ὁ Διόνυσος. τῷ δὲ μετὰ δεῖπνον κεκραμένῳ πρώτῳ προσδιδομένῳ ποτη- c ρίῳ Δία σωτῆρα ἐπιλέγουσι, τῆς ἐκ τοῦ μίγματος ἀλύπου κράσεως τὸν καὶ τῶν ὄμβρων ἀρχηγὸν αἴτιον ὑπολαβόντες. ἐδέησεν οὖν βοηθημάτων τοῖς ἐν τῷ πότῳ κεφαλὴν ἐπιθλιβεῖσιν. ἦν δὲ δεσμὸς ἐξ αὐτῶν προχειρότατος καὶ τῆς φύσεως ἐπὶ τοῦτο ὁδηγούσης. ἀλγήσας γάρ τις κεφαλήν, ὥς φησιν Ἀνδρέας, εἶτα πιέσας καὶ κουφισθείς, εὗρε κεφαλαλγίας δεσμὸν φάρμακον. τούτῳ οὖν βοηθήματι πρὸς τοὺς πότους χρώμενοι τοῖς παραπίπτουσι τὴν κεφαλὴν ἐδέσμευον· d καὶ ἐπὶ τὸν κίσσινον στέφανον ἦλθον, αὐτόματόν τε καὶ πολὺν ὄντα καὶ κατὰ πάντα τόπον γεννώμενον, ἔχοντα καὶ πρόσοψιν οὐκ ἀτερπῆ, χλωροῖς πετάλοις καὶ κορύμβοις σκιάζοντα τὸ μέτωπον, καὶ τοὺς ἐν τῷ σφίγγειν τόνους ὑπομένοντα, προσέτι δὲ ψύχοντα

χωρὶς ὀσμῆς καρούσης. καὶ ταύτῃ μοι δοκεῖ Διονύσῳ ὁ βίος ἀνεῖναι τὸ στέφος, τὸν εὑρετὴν τοῦ πώματος καὶ τῶν δι' αὐτὸ ἐλασσωμάτων ἀλεξητῆρα βουλόμενος εἶναι. ἐντεῦθεν δὲ εἰς ἡδονὴν τραπέντες τὸ μὲν συμφέρον . . . καὶ τοῦ ἐκ μέθης παραβοηθῶν ἐλατ-
e τώματος ὁ στέφανος, τοῦ πρὸς ὄψιν ἢ πρὸς ὀσμὴν ἐπιτερποῦς ἐφρόντισαν. διὸ μυρσίνης μὲν στέφανον στύφοντα καὶ τὴν οἴνων ἀναθυμίασιν ἀποκρουόμενον, ἔτι δὲ ῥόδινον ἔχοντά τι καὶ κεφαλαλγίας παρηγορικὸν σὺν τῷ κατὰ ποσὸν ψύχειν, πρὸς δὲ τοῖς δάφνινον οὐκ ἀλλότριον τοῖς πότοις ἡγητέον. λευκόινον δὲ κινητικὸν ὄντα κεφαλῆς καὶ ἀμαράκινον καὶ ἅπαντας τοὺς καροῦν δυναμένους ἢ βαρύνειν ἄλλως κεφαλὴν περιστατέον.' τὰ αὐτὰ εἴρηκε καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ μύρων καὶ στεφάνων αὐταῖς
f λέξεσι. καὶ περὶ μὲν τούτων, ὦ ἑταῖροι, ταῦτα.

18. περὶ δὲ τοῦ ναυκρατίτου στεφάνου τίς ἐστι τὴν ἄνθην πολλὰ ἀναζητήσας καὶ πολλῶν πυθόμενος, ὡς οὐδὲν ἐμάνθανον, ἐνέτυχον ὀψέ ποτε Πολυχάρμου Ναυκρατίτου ἐπιγραφομένῳ βιβλίῳ περὶ Ἀφροδίτης, ἐν ᾧ ταυτὶ γέγραπται 'κατὰ δὲ τὴν τρίτην πρὸς ταῖς εἴκοσιν ὀλυμπιάδα ὁ Ἡρόστρατος, πολίτης ἡμέτερος, ἐμπορίᾳ χρώμενος καὶ χώραν πολλὴν περιπλέων,
676 προσσχών ποτε καὶ Πάφῳ τῆς Κύπρου ἀγαλμάτιον Ἀφροδίτης σπιθαμιαῖον ἀρχαῖον τῇ τέχνῃ ὠνησάμενος ᾔει φέρων εἰς τὴν Ναύκρατιν. καὶ αὐτῷ πλησίον φερομένῳ τῆς Αἰγύπτου ἐπεὶ χειμὼν αἰφνίδιον ἐπέπεσε, καὶ συνιδεῖν οὐκ ἦν ὅπου γῆς ἦσαν, κατέφυγον ἅπαντες ἐπὶ τὸ τῆς Ἀφροδίτης ἄγαλμα, σώζειν αὐτοὺς αὐτὴν δεόμενοι. ἡ δὲ θεός, προσφιλὴς γὰρ τοῖς Ναυκρατίταις ἦν, αἰφνίδιον ἐποίησε πάντα τὰ παρακείμενα αὐτῇ μυρρίνης χλωρᾶς πλήρη ὀδμῆς τε ἡδίστης

ἐπλήρωσε τὴν ναῦν ἤδη ἀπειρηκόσι τοῖς ἐμπλέουσι b τὴν σωτηρίαν διὰ τὴν πολλὴν ναυτίαν γενομένου τε ἐμέτου πολλοῦ. καὶ ἡλίου ἐκλάμψαντος κατιδόντες τοὺς ὅρμους ἧκον εἰς τὴν Ναύκρατιν. καὶ ὁ Ἡρόστρατος ἐξορμήσας τῆς νεὼς μετὰ τοῦ ἀγάλματος ἔχων καὶ τὰς αἰφνίδιον αὐτῷ ἀναφανείσας χλωρὰς μυρρίνας ἀνέθηκεν ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ, θύσας τε τῇ θεῷ καὶ ἀναθεὶς τῇ Ἀφροδίτῃ τἄγαλμα καλέσας τε καὶ ἐφ᾽ ἑστίασιν ἐν αὐτῷ τῷ ἱερῷ τοὺς προσήκοντας καὶ τοὺς οἰκειοτάτους, ἔδωκεν ἑκάστῳ καὶ στέ- c φανον ἐκ τῆς μυρρίνης, ὃν καὶ τότε ἐκάλεσε ναυκρατίτην.᾽ ὁ μὲν οὖν Πολύχαρμος ταῦτα. οἷς κἀγὼ πείθομαι, ἡγούμενος οὐκ ἄλλον τινὰ εἶναι ναυκρατίτην στέφανον ἢ τὸν ἐκ τῆς μυρρίνης τῷ καὶ μετὰ τῶν ῥόδων ὑπὸ τοῦ Ἀνακρέοντος φορεῖσθαι. καὶ ὁ Φιλωνίδης δὲ εἴρηκεν ὡς ὁ τῆς μυρρίνης στέφανος τὴν ἐκ τῶν οἴνων ἀναθυμίασιν ἀποκρούεται καὶ ὁ τῶν ῥόδων ἔχει τι κεφαλαλγίας παρηγορικὸν πρὸς τῷ καὶ ἐμψύχειν. γελοῖοι οὖν εἰσὶ καὶ οἱ λέγοντες ναυκρατίτην εἶναι στέφανον τὸν ἐκ τῆς βίβλου τῆς στεφανωτρίδος καλουμένης παρ᾽ Αἰγυπτίοις στεφόμενον, d παρατιθέμενοι Θεοπόμπου ἐκ τῆς τρίτης τῶν Ἑλληνικῶν, ὅς φησιν Ἀγησιλάῳ τῷ Λάκωνι παραγενομένῳ εἰς Αἴγυπτον δῶρα πέμψαι τοὺς Αἰγυπτίους ἄλλα τέ τινα καὶ δὴ καὶ τὴν στεφανωτρίδα βίβλον. ἐγὼ δὲ οὐκ οἶδα τίνα ὠφέλειαν ἢ ἡδονὴν ἔχει τὸ βίβλῳ στεφανοῦσθαι μετὰ ῥόδων, πλὴν εἰ μὴ οἱ τούτοις χαίροντες στέψονται ὁμοῦ σκορόδοις καὶ ῥόδα. παμπόλλους δὲ οἶδα λέγοντας τὸν ἐκ τῆς σαμψύχου στέφανον εἶναι τὸν ναυκρατίτην· πολὺ δὲ τὸ ἄνθος τοῦτο κατὰ τὴν Αἴγυπτον. διάφορος δὲ γίνεται κατὰ e

τὴν ὀδμὴν ἡ ἐν Αἰγύπτῳ μυρρίνη παρὰ τὰς ἐν ἄλλαις χώραις, ὡς καὶ Θεόφραστος ἱστορεῖ.

19. ἔτι τούτων λεγομένων ἐπεισῆλθον παῖδες στεφάνους φέροντες τῶν ἀκμαζόντων κατὰ τοὺς καιρούς. καὶ ὁ Μυρτίλος, λέγε καλέ, εἶπεν, Οὐλπιανὲ στεφάνων ὀνόματα. οἱ γὰρ παῖδες κατὰ τὸν Χαιρήμονος Κένταυρον

στεφάνους ἑτοιμάζουσιν, οὓς εὐφημίας
κήρυκας εὐχαὶ προὐβάλοντο δαιμόνων.

f καὶ ἐν τῷ Διονύσῳ δὲ ὁ αὐτὸς ἔφη ποιητής

στεφάνους τεμόντες ἀγγέλους εὐφημίας.

σὺ δὲ μὴ τὰ ἐκ τῶν ἐπιγραφομένων Αἰλίου Ἀσκληπιάδου στεφάνων φέρε ἡμῖν ὡς ἀνηκόοις αὐτῶν, ἀλλ' ἄλλο τι παρ' ἐκεῖνα λέγε. δεῖξαι γὰρ οὐκ ἔχεις ὅτι διαλελυμένως τις εἴρηκε ῥόδων στέφανον καὶ ἴων στέφανον· τὸ γὰρ παρὰ Κρατίνῳ κατὰ παιδιὰν εἴρηται 'ναρκισσίνους ὀλίσβους.' καὶ ὃς γελάσας, πρῶτος ἐν τοῖς Ἕλλησι στέφανος ὠνομάσθη, ὥς φησι Σῆμος ὁ Δήλιος ἐν τετάρτῳ Δηλιάδος, τὸ παρὰ μὲν ἡμῖν
677 στέφος παρὰ δὲ τισὶ στέμμα προσαγορευόμενον, διὸ καὶ τούτῳ πρώτῳ στεφανωσάμενοι δεύτερον περιτιθέμεθα τὸν δάφνινον. κέκληται δὲ στέφανος ἀπὸ τοῦ στέφειν. σὺ δὲ οἴει μ', ἔφη, Θετταλὲ ποικιλόμυθε, τῶν κοινῶν τούτων καὶ κατημαξευμένων ἐρεῖν τι; διὰ δὲ τὴν σὴν γλῶσσαν τῆς ὑπογλωττίδος μνησθήσομαι, ἧς Πλάτων ἐμνήσθη ἐν Διὶ κακουμένῳ

καίτοι φορεῖτε γλῶτταν ἐν ὑποδήμασι,
στεφανοῦσθ' ὑπογλωττίσιν, ὅταν πίνητέ που,
b κἂν καλλιερῆτε, γλῶτταν ἀγαθὴν πέμπετε.

Θεόδωρος δ' ἐν ταῖς Ἀττικαῖς φωναῖς, ὥς φησι Πάμφιλος ἐν τοῖς περὶ ὀνομάτων, πλοκῆς στεφάνων γένος

τι τὴν ὑπογλωττίδα ἀποδίδωσι. λαβὲ οὖν παρ' ἐμοῦ· κατὰ γὰρ τὸν Εὐριπίδην

ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός.

20. ἰσθμιακόν. οὕτως τοῦτον καλούμενον στέφανον Ἀριστοφάνης μνήμης ἠξίωσεν ἐν Ταγηνισταῖς λέγων οὕτως

τί οὖν ποιῶμεν; χλανίδ' ἐχρῆν λευκὴν λαβεῖν, c
εἶτ' ἰσθμιακὰ λαβόντες ὥσπερ οἱ χοροὶ
ᾄδωμεν ἐς τὸν δεσπότην ἐγκώμιον.

Σειληνὸς δ' ἐν ταῖς Γλώσσαις φησίν 'ἴσθμιον στέφανον.' Φιλητᾶς δέ φησι 'στέφανος. ἤγουν ὁμωνυμία ἀμφοτέρωθι, οἷον τῆς κεφαλῆς καὶ τοῦ πρώτου κόσμου. λέγω δὲ τὸ ἐπὶ τοῦ φρέατος καὶ τοῦ ἐγχειριδίου ἴσθμιον.' Τιμαχίδας δὲ καὶ Σιμμίας οἱ Ῥόδιοι ἀποδιδόασιν ἓν ἀνθ' ἑνὸς 'ἴσθμιον, στέφανον' οὗ μνημονεύει καὶ Καλλίξενος Ῥόδιος καὶ αὐτὸς γένος ἐν d τοῖς περὶ Ἀλεξανδρείας γράφων οὕτως . . .

21. ἐπεὶ δὲ Ἀλεξανδρείας ἐμνημόνευσα, οἶδά τινα ἐν τῇ καλῇ ταύτῃ πόλει καλούμενον στέφανον Ἀντινόειον γινόμενον ἐκ τοῦ αὐτόθι καλουμένου λωτοῦ. φύεται δ' οὗτος ἐν λίμναις θέρους ὥρᾳ, καὶ εἰσὶν αὐτοῦ χροιαὶ δύο, ἣ μὲν τῷ ῥόδῳ ἐοικυῖα· ἐκ τούτου δ' ὁ πλεκόμενος στέφανος κυρίως Ἀντινόειος καλεῖται· ὁ δ' ἕτερος λώτινος ὀνομάζεται, κυανέαν ἔχων τὴν χροιάν. καὶ Παγκράτης τις τῶν ἐπιχωρίων ποιητής, ὃν καὶ ἡμεῖς ἔγνωμεν, Ἀδριανῷ τῷ αὐτο- e κράτορι ἐπιδημήσαντι τῇ Ἀλεξανδρείᾳ μετὰ πολλῆς τερατείας ἐπέδειξε τὸν ῥοδίζοντα λωτόν, φάσκων αὐτὸν δεῖν καλεῖν Ἀντινόειον, ἀναπεμφθέντα ὑπὸ τῆς γῆς, ὅτε τὸ αἷμα ἐδέξατο τοῦ μαυρουσίου λέοντος, ὃν κατὰ τὴν πλησίον τῇ Ἀλεξανδρείᾳ Λιβύην ἐν

κυνηγίῳ καταβεβλήκει ὁ Ἀδριανός, μέγα χρῆμα ὄντα καὶ πολλῷ χρόνῳ κατανεμηθέντα πᾶσαν τὴν Λιβύην, ἧς καὶ πολλὰ ἀοίκητα ἐπεποιήκει οὗτος ὁ λέων. ἡσθεὶς οὖν ἐπὶ τῇ τῆς ἐννοίας εὑρέσει καὶ καινότητι τὴν ἐν Μουσῶν αὐτῷ σίτησιν ἔχειν ἐχαρίσατο. καὶ Κρατῖνος
f δ' ὁ κωμῳδιοποιὸς ἐν Ὀδυσσεῦσι κέκληκε τὸν λωτὸν στεφάνωμα, διὰ τὸ πάντα τὰ φυλλώδη ὑπὸ τῶν Ἀθηναίων στεφανώματα λέγεσθαι. ὁ δὲ Παγκράτης ἐν τῷ ποιήματι οὐκ ἀγλαφύρως εἴρηκεν

οὔλην ἕρπυλλον, λευκὸν κρίνον ἠδ' ὑάκινθον
πορφυρέην, γλαυκοῦ δὲ χελιδονίοιο πέτηλα,
καὶ ῥόδον εἰαρινοῖσιν ἀνοιγόμενον ζεφύροισιν·
οὔπω γὰρ φύεν ἄνθος ἐπώνυμον Ἀντινόοιο.

678 22. πυλεών. οὕτως καλεῖται ὁ στέφανος, ὃν τῇ Ἥρᾳ περιτιθέασιν οἱ Λάκωνες, ὥς φησι Πάμφιλος. ἀλλὰ μὴν καὶ ἰάκχαν τινὰ καλούμενον οἶδα στέφανον ὑπὸ Σικυωνίων, ὥς φησι Τιμαχίδας ἐν ταῖς Γλώσσαις. Φιλητᾶς δ' οὕτως γράφει 'ἰάκχα, ἐν τῇ Σικυωνίᾳ στεφάνωμα εὐῶδες

ἕστηκ' ἀμφὶ κόμας εὐώδεας ἀγχόθι πατρὸς
καλὸν ἰακχαῖον θηκαμένη στέφανον.'

Σέλευκος δὲ ἐν ταῖς γλώσσαις ἑλλωτίδα καλεῖσθαί φησι τὸν ἐκ μυρρίνης πλεκόμενον στέφανον,
b ὄντα τὴν περίμετρον πηχῶν εἴκοσι, πομπεύειν τε ἐν τῇ τῶν Ἑλλωτίων ἑορτῇ. φασὶ δ' ἐν αὐτῷ τὰ τῆς Εὐρώπης ὀστᾶ κομίζεσθαι, ἣν ἐκάλουν Ἑλλωτίδα. ἄγεσθαι δὲ καὶ ἐν Κορίνθῳ τὰ Ἑλλώτια.

θυρεατικοί. οὕτω καλοῦνται στέφανοί τινες παρὰ Λακεδαιμονίοις, ὥς φησι Σωσίβιος ἐν τοῖς περὶ θυσιῶν, ψιλίνους αὐτοὺς φάσκων νῦν ὀνομάζεσθαι, ὄντας ἐκ φοινίκων. φέρειν δ' αὐτοὺς ὑπόμνημα τῆς ἐν Θυρέᾳ γενομένης νίκης τοὺς προστάτας τῶν ἀγο-

μένων χορῶν ἐν τῇ ἑορτῇ ταύτῃ, ὅτε καὶ τὰς γυμνοπαιδιὰς ἐπιτελοῦσι. χοροὶ δ' εἰσὶ τρεῖς, ὁ μὲν πρῶτος παίδων ὁ δὲ δεύτερος ἐφήβων ὁ δὲ τρίτος ἀνδρῶν, γυμνῶν ὀρχουμένων καὶ ᾀδόντων Θαλήτου καὶ Ἀλκμᾶνος ᾄσματα καὶ τοὺς Διονυσοδότου τοῦ Λάκωνος παιᾶνας. c

μελιλωτίνων δὲ στεφάνων μνημονεύει Ἄλεξις ἐν Κρατεύᾳ ἢ Φαρμακοπώλῃ οὕτως

στεφάνους τε πολλοὺς κρεμαμένους μελιλωτίνους.

ἐπιθυμίς. Σέλευκός φησι 'τὰ πάντα στεφανώματα.' Τιμαχίδας δέ φησι τὰ παντοδαπὰ στεφανώματα, ἃ τὰς γυναῖκας φορεῖν, οὕτως καλεῖσθαι. d ὑποθυμὶς δὲ καὶ ὑποθυμιάδες στέφανοι παρ' Αἰολεῦσι καὶ Ἴωσιν, οὓς περὶ τοὺς τραχήλους περιετίθεντο, ὡς σαφῶς ἔστι μαθεῖν ἐκ τῆς Ἀλκαίου καὶ Ἀνακρέοντος ποιήσεως. Φιλητᾶς δ' ἐν τοῖς Ἀτάκτοις ὑποθυμίδας Λεσβίους φησὶ καλεῖν μυρσίνης κλῶνα, περὶ ὃν πλέκειν ἴα καὶ ἄλλα ἄνθη. καὶ ὑπογλωττὶς δὲ στεφάνου ἐστὶν εἶδος. Θεόδωρος δ' ἐν ταῖς ἀττικαῖς γλώσσαις στεφάνων πλοκῆς γένος παρὰ Πλάτωνι ἐν Διὶ κακουμένῳ.

23. εὑρίσκω δὲ καὶ παρὰ τοῖς κωμικοῖς κυλιστόν τινα καλούμενον στέφανον, καὶ μνημονεύοντα αὐτοῦ Ἄρχιππον ἐν Ῥίνωνι διὰ τούτων e

ἀθῷος ἀποδὺς θοἰμάτιον ἀπέρχεται
στέφανον ἔχων τῶν ἐκκυλίστων οἴκαδε.

Ἄλεξις δ' ἐν μὲν Ἀγώνιδι ἢ Ἱππίσκῳ

ὁ τρίτος οὗτος δ' ἔχει
σύκων κυλιστὸν στέφανον. Β. ἀλλ' ἔχαιρε καὶ
ζῶν τοῖς τοιούτοις.

ἐν δὲ Σκείρωνί φησιν

ὥσπερ κυλιστὸς στέφανος αἰωρούμενος.

μνημονεύει δ' αὐτοῦ καὶ Ἀντιφάνης ἐν Ἑαυτοῦ f ἐρῶντι. Εὔβουλος δ' ἐν Οἰνομάῳ ἢ Πέλοπι

περιφοραῖς κυκλούμενος
ὥσπερ κυλιστὸς στέφανος.

τίς οὖν οὗτος ὁ κυλιστός; οἶδα γὰρ τὸν Θυατειρηνὸν Νίκανδρον ἐν τοῖς Ἀττικοῖς ὀνόμασι λέγοντα τάδε 'ἐκκυλίσιοι στέφανοι καὶ μάλιστα οἱ ἐκ ῥόδων.' καὶ τὸ εἶδος ὁποῖον ζητῶ, ὦ Κύνουλκε. καὶ μή μοι εἴπῃς ὅτι δεῖ τοὺς ἁδροὺς ἀκούειν. σὺ γὰρ εἶ ὁ τὰ ἐν τοῖς βιβλίοις οὐ μόνον ἀπόρρητα ἐκλέγων ἀλλὰ καὶ διορύττων, καθάπερ οἱ παρὰ Βάτωνι τῷ κωμῳδιοποιῷ ἐν Συνεξαπατῶντι φιλόσοφοι, περὶ ὧν καὶ Σοφοκλῆς Συνδείπνοις φησὶν οὖσί σοι παραπλησίοις

679 οὔτοι γένειον ὧδε χρὴ διηλιφὲς
φοροῦντα κἀντίπαιδα καὶ γένει μέγαν
μητρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν.

ἐπειδὴ οὖν ἤδη καὶ σὺ πεπλήρωσαι οὐ μόνον τῶν τοῦ γλαύκου κρανίων ἀλλὰ καὶ τῆς ἀειζώου βοτάνης, ἧς ὁ Ἀνθηδόνιος ἐκεῖνος ἁλιευτὴς ἐμφορηθεὶς δαίμων θαλάσσιος γέγονε, λέγε ἡμῖν περὶ τοῦ προκειμένου, ἵνα μὴ κατὰ τὸν θεῖον Πλάτωνα ὑπολάβωμέν σε ἀποθανόντα μεταμορφωθῆναι [ἐν τῷ περὶ ψυχῆς]. τοὺς b μὲν γὰρ τὰς γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλαβουμένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι.

24. ἀποροῦντος δ' αὐτοῦ, ἐπὶ ἕτερον, φησί, στέφανον μεταβήσομαι, ὁ Οὐλπιανός, τὸν στρούθιον καλούμενον, οὗ μέμνηται μὲν ὁ Ἀσκληπιάδης, παρατιθέμενος τὰ ἐκ τῶν Εὐβούλου Στεφανοπωλίδων ταῦτα

ὦ μάκαρ ἥτις ἔχουσ' ἐν δωματίῳ
στρούθιον ἀεροφόρητον,

λεπτότατον περὶ σῶμα συνίλλεται
ἡδυπότατον περὶ νυμφίον εὔτριχα,
κισσὸς ὅπως καλάμῳ περιφύεται
αὐξόμενος ἔαρος ὀλολυγόνος
ἔρωτι κατατετηκώς.

πλέκεται δ' οὗτος ἐκ τοῦ στρουθίου καλουμένου ἄνθους, c οὗ μνημονεύει Θεόφραστος ἐν ἕκτῳ φυτικῆς ἱστορίας ἐν τούτοις 'ἀνθεῖ δὲ καὶ ἡ ἶρις τοῦ θέρους καὶ τὸ στρούθιον καλούμενον, ὃ τῇ μὲν ὄψει καλὸν ἄνθος, ἄοσμον δέ.' Γαλήνη δ' ἡ Σμυρναία στρουθίον αὐτὸν ὀνομάζει.

π ό θ ο ς. οὕτως τὶς στέφανος ὀνομάζεται, ὡς Νίκανδρός φησιν ὁ Κολοφώνιος ἐν Γλώσσαις· καὶ ἴσως ὁ ἀπὸ τοῦ οὕτω καλουμένου πόθου ἄνθους πλεκόμενος, οὗ μνημονεύει ὁ αὐτὸς Θεόφραστος ἐν τῷ ἕκτῳ τῶν Φυτικῶν γράφων ὧδε· 'τὰ δὲ θερινὰ μᾶλλον, ἥ d τε λυχνὶς καὶ τὸ Διὸς ἄνθος καὶ τὸ κρίνον καὶ ἴφυον καὶ ἀμάρακος ὁ φρύγιος, ἔτι δ' ὁ πόθος καλούμενος. οὗτος δ' ἐστὶ διττός, ὃ μὲν ἔχων τὸ ἄνθος ὅμοιον ὑακίνθῳ, ὁ δ' ἕτερος ἄχρως ἔκλευκος, ᾧ χρῶνται πρὸς τοὺς τάφους.'

καταλέγει δ' Εὔβουλος καὶ ἄλλους στεφάνους

αἰγίδιον, σὺ δὲ τόνδε φορήσεις
τὸν στέφανον πολυποίκιλον ἀνθέων,
ὑγρότατον χαριέστατον, ὦ Ζεῦ.
τίς γὰρ ἂν αὐτὸν ἔχουσ' ἀφίλητος;

κἀν τοῖς ἑξῆς τάδε φησί e

στεφάνους ἴσως βούλεσθε· πότερ' ἑρπυλλίνους
ἢ μυρτίνους ἢ τῶν διεξηνθισμένων;
B. τῶν μυρτίνων βουλόμεθα· τουτωνὶ δίδου.
τὰ δ' ἄλλα πώλει πάντα πλὴν τῶν μυρτίνων.

25. φ ι λ ύ ρ ι ν ο ς. Ξέναρχος Στρατιώτῃ

φιλύρας εἶχε γὰρ
ὁ παῖς ἄφυλλον στέφανον ἀμφικείμενον.

καλοῦνται δέ τινες καὶ ἑ λ ι κ τ ο ὶ στέφανοι, ὥσπερ
f παρ' Ἀλεξανδρεῦσι μέχρι καὶ νῦν. μνημονεύει δ' αὐτῶν Χαιρήμων ὁ τραγῳδιοποιὸς ἐν Διονύσῳ διὰ τούτων

κισσῷ τε ναρκίσσῳ τε τριέλικας κύκλῳ
στεφάνων ἑλικτῶν.

περὶ δὲ τῶν ἐν Αἰγύπτῳ ἀεὶ ἀνθούντων στεφάνων Ἑλλάνικος ἐν τοῖς Αἰγυπτιακοῖς οὕτω γράφει 'πόλις ἐπιποταμίη Τίνδιον οὔνομα. αὕτη θεῶν ὁμήγυρις καὶ ἱρὸν μέγα καὶ ἁγνὸν ἐν μέσῃ τῇ πόλι λίθινον καὶ θύρετρα λίθινα. ἔσω τοῦ ἱροῦ ἄκανθαι πε-
680 φύκασι λευκαὶ καὶ μέλαιναι, καὶ ἐπ' αὐτῇσι στέφανοι ἐπιβεβλέαται ἄνω τῆς ἀκάνθου τοῦ ἄνθεος καὶ ῥοιῆς ἄνθεος καὶ ἀμπέλου πεπλεγμένοι· καὶ οὗτοι αἰεὶ ἀνθέουσι. τούτους τοὺς στεφάνους ἀπέθεντο οἱ θεοὶ ἐν Αἰγύπτῳ πυθόμενοι βασιλεύειν τὸν Βάβυν, ὅς ἐστι Τυφών.' Δημήτριος δ' ἐν τῷ περὶ τῶν κατ' Αἴγυπτον περὶ Ἄβυδον πόλιν τὰς ἀκάνθας ταύτας εἶναί φησι γράφων οὕτως 'ἔχει δὲ καὶ ὁ κάτω τόπος καὶ ἄκανθάν τινα δένδρον, ὃ τὸν καρπὸν φέρει στρογ-
b γύλον ἐπί τινων κλωνίων περιφερῶν. ἀνθεῖ δ' οὗτος ὅταν ὥρα ᾖ, καὶ ἐστὶ τῷ χρώματι τὸ ἄνθος ἡλιοφεγγές. λέγεται δέ τις μῦθος ὑπὸ τῶν Αἰγυπτίων, ὅτι οἱ Αἰθίοπες στελλόμενοι εἰς Τροίαν ὑπὸ τοῦ Τιθωνοῦ, ἐπεὶ ἤκουσαν τὸν Μέμνονα τετελευτηκέναι, ἐν τούτῳ τῷ τόπῳ τοὺς στεφάνους ἀνέβαλον ἐπὶ τὰς ἀκάνθας. ἔστι δὲ παραπλήσια τὰ κλώνια στεφάνοις, ἀφ' ὧν τὸ ἄνθος φύεται.' ὁ δὲ προειρημένος Ἑλλάνικος καὶ Ἄμασιν Αἰγύπτου βασιλεῦσαι, ἰδιώτην ὄντα καὶ τῶν τυχόντων κατὰ τὸν πρῶτον βίον, διὰ στεφάνου δω-

ρεάν, ὃν ἔπεμψεν ἀνθέων πλεξάμενος τῇ ὥρᾳ περι- c καλλεστάτων γενέθλια ἐπιτελοῦντι Πατάρμιδι τῷ τῆς Αἰγύπτου τότε βασιλεύοντι. τοῦτον γὰρ ἡσθέντα τῷ κάλλει τοῦ στεφάνου καὶ ἐπὶ δεῖπνον καλέσαι τὸν Ἄμασιν καὶ μετὰ ταῦτα τῶν φίλων ἕνα αὐτὸν ἔχοντα ἐκπέμψαι ποτὲ καὶ στρατηγόν, Αἰγυπτίων αὐτῷ πολεμούντων· ὑφ᾽ ὧν διὰ τὸ τοῦ Πατάρμιδος μῖσος ἀποφανθῆναι βασιλέα.

26. συνθηματιαῖοι στέφανοι, ἠργολαβημένοι καὶ ἐκδόσιμοι. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις

πλέξαι στεφάνους συνθηματιαίους εἴκοσιν.

χορωνόν. Ἀπίων ἐν τῷ περὶ τῆς ῥωμαϊκῆς δια- d λέκτου φησὶ τὸν στέφανον πάλαι χορωνὸν καλούμενον, ἀπὸ τοῦ τοὺς χορευτὰς ἐν τοῖς θεάτροις αὐτῷ χρῆσθαι, αὐτούς τε περικειμένους καὶ ἐπὶ τὸν στέφανον ἀγωνιζομένους, καθὼς ἐν τοῖς Σιμωνίδου ἐπιγράμμασιν ἰδεῖν ἔστιν οὕτω καλουμένου

Φοῖβος ἐσαγεῖται Τυνδαρίδῃσιν ἀοιδῆς,
ἃν ἄμετροι τέττιγες ἐπεστέψαντο χορωνῷ.

ἀκίνιοι. στέφανοί τινες καλοῦνται οὕτως οἱ ἐκ τῆς ἀκίνου τοῦ φυτοῦ πλεκόμενοι, ὥς φησιν Ἄνδρων ὁ ἰατρός. παρέθετο δ᾽ αὐτοῦ τὴν λέξιν Παρθένιος ὁ τοῦ Διονυσίου ἐν τῷ πρώτῳ τῶν παρὰ τοῖς ἱστορικοῖς e λέξεων.

27. στεφανωματικὰ δ᾽ ἄνθη καταλέγει Θεόφραστος τάδε, ἴον Διὸς ἄνθος ἴφυον ἡμεροκαλλές. πρῶτον δὲ τῶν ἀνθέων ἐκφαίνεσθαί φησι τὸ λευκόϊον, ἅμα δ᾽ αὐτῷ καὶ τὸ φλόγινον καλούμενον τὸ ἄγριον· ἔπειτα νάρκισσον καὶ λείριον, καὶ τῶν ὀρείων ἀνεμώνης γένος τὸ καλούμενον ὄρειον καὶ τὸ τοῦ βολβοῦ κώδυον. συμπλέκουσι γὰρ καὶ τοῦτ᾽ ἔνιοι εἰς στεφάνους. ἐπὶ τούτοις ἥ τε οἰνάνθη καὶ τὸ μελάνιον, καὶ

τῶν ἀγρίων ὅ τε ἑλίχρυσος καὶ τῆς ἀνεμώνης ἡ λει-
f μωνία καλουμένη, καὶ ξίφιον καὶ ὑάκινθος. τὸ δὲ ῥόδον ὑστερεῖ τούτων, καὶ τελευταῖον μὲν φαίνεται πρῶτον δὲ παύεται. τὰ δὲ θερινὰ μᾶλλον, ἥ τε λυχνὶς καὶ τὸ Διὸς ἄνθος καὶ τὸ κρίνον καὶ τὸ ἴφυον καὶ ἀμάρακος φρύγιος, ἔτι δ' ὁ πόθος καλούμενος. ἐν δὲ τῷ ἐνάτῳ ὁ αὐτὸς Θεόφραστός φησιν 'ἐάν τις τοῦ ἑλιχρύσου τῷ ἄνθει στεφανῶται, εὔκλειαν ἴσχει μύρῳ ῥαίνων.' μνημονεύει αὐτοῦ Ἀλκμὰν ἐν τούτοις

681 καὶ τὶν εὔχομαι φέροισα
τόνδ' ἑλιχρύσω πυλεῶνα
κὴράτω κυπαίρω.

καὶ Ἴβυκος

μύρτα τε καὶ ἴα καὶ ἑλίχρυσος,
μᾶλά τε καὶ ῥόδα καὶ τέρεινα δάφνα.

Κρατῖνος δ' ἐν Μαλθακοῖς φησίν

ἑρπύλλῳ, κρόκοις, ὑακίνθοις, ἑλιχρύσου κλάδοις.

ἔστι δὲ τὸ ἄνθος ὅμοιον λωτῷ. Θεμισταγόρας δ' ὁ Ἐφέσιος ἐν τῇ ἐπιγραφομένῃ Χρυσέῃ βίβλῳ ἀπὸ τῆς
b πρώτης δρεψαμένης νύμφης Ἑλιχρύσης ὄνομα τὸ ἄνθος ὀνομασθῆναι. τὰ δὲ κρίνα φησὶν ὁ Θεόφραστος εἶναι καὶ πορφυρανθῆ. Φιλῖνος δὲ τὸ κρίνον ὑφ' ὧν μὲν λείριον ὑφ' ὧν δ' ἴον καλεῖσθαι. Κορίνθιοι δ' αὐτὸ καὶ ἀμβροσίαν καλοῦσιν, ὥς φησι Νίκανδρος ἐν Γλώσσαις. Διοκλῆς δ' ἐν τῷ περὶ θανασίμων φαρμάκων 'ἀμάρακον (φησὶν) ὃν σάμψυχόν τινες καλοῦσι.'

28. κοσμοσανδάλων δὲ μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς διὰ τούτων

κεφαλὴν ἀνθέμοις ἐρέπτομαι,
λειρίοις, ῥόδοις, κρίνεσιν, κοσμοσανδάλοις.

c Κλέαρχος δ' ἐν δευτέρῳ βίων 'ὅρα (φησὶ) τοὺς τὸ κοσμοσάνδαλον ἀνείροντας Λακεδαιμονίους, οἳ τὸν

παλαιότατον τῆς πολιτικῆς κόσμον συμπατήσαντες ἐξετραχηλίσθησαν. διόπερ καλῶς περὶ αὐτῶν εἴρηκεν ὁ κωμῳδιοποιὸς Ἀντιφάνης ἐν Κιθαριστῇ

οὐκ ἐφύσων οἱ Λάκωνες ὡς ἀπόρθητοί ποτε,
νῦν δ' ὁμηρεύουσ' ἔχοντες πορφυροῦς κεκρυφάλους;'

Ἱκέσιος δ' ἐν δευτέρῳ περὶ ὕλης τὸ λευκόϊόν φησι μεσότητά τινα ἔχειν ἐν τῷ στύφειν, πολὺ δ' ἀρίστην εὐωδίαν καὶ δυναμένην τέρπειν, ἀλλὰ πρὸς ὀλίγι- d στον. τὸ δὲ μέλαν, φησί, τὴν μὲν αὐτὴν θεωρίαν ἔχει, εὐῶδες δ' ἐστὶ πολὺ μᾶλλον. Ἀπολλόδωρος δ' ἐν τῷ περὶ θηρίων φησί 'χαμαίπιτυν, οἳ δὲ ὁλόκυρον, οἱ δ' Ἀθήνησιν ἰωνιάν, οἱ δὲ κατ' Εὔβοιαν σιδηρῖτιν.' Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν (τὰ δ' ἔπη ὀλίγον ὕστερον παραθήσομαι, ὅταν περὶ πάντων τῶν στεφανωματικῶν ἀνθῶν διεξέρχωμαι) τὸ ἴον, φησίν, ἰωνιάδες τινὲς νύμφαι Ἴωνι ἐχαρίσαντο πρώτῳ. τὸν δὲ νάρκισσον ἐν τῷ ἕκτῳ περὶ φυτῶν ἱστορίας ὁ Θεόφραστος καλεῖσθαί φησι καὶ λείριον. εἶθ' ὑποβὰς ὡς e διαλλάσσοντα τίθησι νάρκισσον καὶ λείριον. Εὔμαχος δ' ὁ Κορκυραῖος ἐν Ῥιζοτομικῷ καὶ ἀκακαλλίδα φησὶ καλεῖσθαι τὸν νάρκισσον καὶ κρόταλον. τοῦ δ' ἡμεροκαλλοῦς καλουμένου ἄνθους, ὃ τὴν μὲν νύκτα μαραίνεται ἅμα δὲ τῷ ἡλίῳ ἀνατέλλοντι θάλλει, μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς λέγων οὕτως 'ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ.' 'τῆς δὲ ἑρπύλλου (φησὶ Θεόφραστος) τὴν ἄγριον κομίζοντες ἐκ τῶν ὀρῶν φυτεύουσιν ἐν Σικυῶνι καὶ Ἀθήνησιν ἐκ τοῦ Ὑμητ- f τοῦ. παρ' ἄλλοις δ' ὅλα ὄρη πλήρη ἐστὶ τοῦ ἄνθους καθάπερ ἐν Θρᾴκῃ.' Φιλῖνος δέ φησιν αὐτὴν ζυγίδα καλεῖσθαι. περὶ δὲ τῆς λυχνίδος λέγων Ἀμερίας ὁ Μακεδὼν ἐν τῷ Ῥιζοτομικῷ φησιν ἀναφῦναι αὐτὴν

ἐκ τῶν Ἀφροδίτης λουτρῶν, ὅτε Ἡφαίστῳ συγκοιμηθεῖσα ἡ Ἀφροδίτη λούοιτο. εἶναι δ' ἀρίστην ἐν Κύπρῳ καὶ Λήμνῳ, ἔτι δὲ Στρογγύλῃ καὶ Ἔρυκι καὶ Κυθήροις.' ἡ δ' ἶρις, φησὶ Θεόφραστος, ἀνθεῖ τοῦ θέρους, μόνη τε τῶν εὐρωπαίων ἀνθέων εὔοσμός ἐστιν. ἀρίστη δ' ἐστὶν ἐν Ἰλλυριοῖς τοῖς ἀνῳκισμέ-
682 νοις τῆς θαλάσσης. Φιλῖνος δέ φησι τὰ ἄνθη τῆς ἴριδος λέγεσθαι λύκους διὰ τὸ ἐμφερῆ εἶναι λύκου χείλεσι. Νικόλαος δ' ὁ Δαμασκηνὸς ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν πρὸς ταῖς ἑκατὸν περὶ τὰς Ἄλπεις λίμνην τινά φησιν εἶναι πολλῶν σταδίων οὖσαν, ἧς περὶ τὸν κύκλον πεφυκέναι δι' ἔτους ἄνθη ἥδιστα καὶ εὐχρούστατα, ὅμοια ταῖς καλουμέναις κάλχαις. τῶν δὲ καλχῶν μέμνηται καὶ Ἀλκμὰν ἐν τούτοις

> χρύσεον ὅρμον ἔχων ῥαδινᾶν πετάλοισι καλχᾶν.

b μνημονεύει αὐτῶν καὶ Ἐπίχαρμος ἐν Ἀγρωστίνῳ.

29. 'τῶν δὲ ῥόδων (φησὶ Θεόφραστος ἐν τῷ ἕκτῳ) πολλαί εἰσι διαφοραί. τὰ μὲν γὰρ πλεῖστα αὐτῶν πεντάφυλλα, τὰ δὲ δωδεκάφυλλα, ἔνια δ' ἐστὶ καὶ ἑκατοντάφυλλα περὶ Φιλίππους. λαμβάνοντες γὰρ ἐκ τοῦ Παγγαίου φυτεύουσιν· ἐκεῖ γὰρ γίγνεται πολλά. μικρὰ δὲ σφόδρα τὰ ἐντὸς φύλλα· ἡ γὰρ ἔκφυσις αὐτῶν οὕτως ἐστὶν ὥστ' εἶναι τὰ μὲν ἐντὸς τὰ δ' ἐκτός, οὐκ εὔοσμα δὲ οὐδὲ μεγάλα τοῖς μεγέθεσι. τὰ δὲ πεντάφυλλα εὐώδη μᾶλλον ὧν τραχὺ τὸ κάτω. εὐο-
c σμότατα δὲ τὰ ἐν Κυρήνῃ· διὸ καὶ τὸ μύρον ἥδιστον. καὶ τῶν ἴων δὲ καὶ τῶν ἄλλων ἀνθέων ἄκρατοι μάλιστα καὶ θεῖαι αἱ ὀσμαί· διαφερόντως δ' ἡ τοῦ κρόκου.' Τιμαχίδας δ' ἐν τοῖς Δείπνοις τὸ ῥόδον φησὶ τοὺς Ἀρκάδας καλεῖν εὐόμφαλον ἀντὶ τοῦ εὔοσμον. Ἀπολλόδωρος δ' ἐν τετάρτῳ Παρθικῶν ἄνθος τι ἀναγράφει καλούμενον φιλάδελφον κατὰ τὴν παρθικὴν

χώραν, περὶ οὗ τάδε φησί 'καὶ μυρσίνης γένη ποικίλα μῖλαξ τε καὶ τὸ καλούμενον φιλάδελφον, ὃ τὴν ἐπωνυμίαν ἔλαβε τῇ φύσει πρόσφορον. ἐπειδὰν γὰρ ἐκ d διαστήματος αὐτομάτως κράδαι συμπέσωσιν, ἐμψύχων περιπλοκὴν ἐν τῷ . . . μένουσιν ἡνωμέναι καθάπερ ἀπὸ ῥίζης μιᾶς, καὶ τὸ λοιπὸν ἀνατρέχουσι καὶ ζωοφυτοῦσι. διὸ καὶ τοῖς ἡμέροις φυλακὴν ἀπ' αὐτῶν κατασκευάζουσιν. ἀφαιροῦντες γὰρ τῶν ῥάβδων τὰς λεπτοτάτας καὶ διαπλέξαντες δικτύου τρόπῳ φυτεύουσι κύκλῳ τῶν κηπευμάτων· καὶ ταῦτα συμπλεκόμενα περιβόλου παρέχεται δυσπάροδον ἀσφάλειαν.'

30. ἀνθῶν δὲ στεφανωτικῶν μέμνηται ὁ μὲν τὰ Κύπρια ἔπη πεποιηκὼς Ἡγησίας ἢ Στασῖνος . . . e Δημοδάμας γὰρ ὁ Ἁλικαρνασσεὺς ἢ Μιλήσιος ἐν τῷ περὶ Ἁλικαρνασσοῦ [οὐ] κύπρια, Ἁλικαρνασσέως δ' αὐτὰ εἶναί φησι ποιήματα. λέγει δ' οὖν ὅστις ἐστὶν ὁ ποιήσας αὐτὰ ἐν τῷ ια' οὑτωσί

εἵματα μὲν χροῒ ἕστο τὰ οἱ Χάριτές τε καὶ Ὧραι
ποίησαν καὶ ἔβαψαν ἐν ἄνθεσιν εἰαρινοῖσιν,
οἷα φοροῦσ' ὧραι, ἔν τε κρόκῳ ἔν θ' ὑακίνθῳ
ἔν τε ἴῳ θαλέθοντι ῥόδου τ' ἐνὶ ἄνθεϊ καλῷ
ἡδέι νεκταρέῳ, ἔν τ' ἀμβροσίαις καλύκεσσιν . . .
ἄνθεσι ναρκίσσου καὶ λειρίου, οἷ' Ἀφροδίτη f
ὀδμαῖς παντοίαις τεθυωμένα εἵματα ἕσται.

οὗτος ὁ ποιητὴς καὶ τὴν τῶν στεφάνων χρῆσιν εἰδὼς φαίνεται δι' ὧν λέγει

ἣ δὲ σὺν ἀμφιπόλοισι φιλομμειδὴς Ἀφροδίτη
πλεξαμένη στεφάνους εὐώδεας ἄνθεα γαίης . . .
ἂν κεφαλαῖσιν ἔθεντο θεαὶ λιπαροκρήδεμνοι,
Νύμφαι καὶ Χάριτες ἅμα δὲ χρυσέη Ἀφροδίτη,
καλὸν ἀείδουσαι κατ' ὄρος πολυπιδάκου Ἴδης.

31. Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν κατα- 683

λέγων καὶ αὐτὸς στεφανωτικὰ ἄνθη καὶ περὶ τῶν ἰάδων νυμφῶν καὶ περὶ ῥόδων τάδε λέγει

ἀλλὰ τὰ μὲν σπείροις τε καὶ ὡς ὡραῖα φυτεύοις
ἄνθε' ἰαονίηθε· γένη γε μὲν ἰάσι δισσά,
ὠχρόν τε χρυσῷ τε φυὴν εἰς ὦπα προσειδές,
ἅσσα τ' ἰωνιάδες νύμφαι στέφος ἁγνὸν Ἴωνι
πισαίοις ποθέσασαι ἐνὶ κλήροισιν ὄρεξαν.
ἤνυσε γὰρ χλούνην δὲ μετεσσύμενος σκυλάκεσσιν
b Ἀλφειῷ καὶ λύθρον ἑῶν ἐπλύνατο γυίων
ἑσπέριος νύμφῃσιν ἰαονίδεσσι νυχεύσων.
αὐτὰρ ἀκανθοβόλοιο ῥόδου κατατέμνεο βλάστας,
τάφροις τ' ἐμπήξειας ὅσον διπάλαιστα τελέσκων.
πρῶτα μὲν Ὠδονίηθε Μίδης ἅπερ Ἀσίδος ἀρχὴν
λείπων ἐν κλήροισιν ἀνέτρεφεν Ἠμαθίοισιν
αἰὲν ἐς ἑξήκοντα πέριξ κομόωντα πετήλοις.
δεύτερα νισαίης Μεγαρηίδος. οὐδὲ Φάσηλις,
c οὐδ' αὐτὴ Λεύκοφρυν ἀγασσαμένη ἐπιμεμφής,
Ληθαίου Μάγνητος ἐφ' ὕδασιν εὐθαλέουσα.
κισσοῦ δ' ἄλλοτε κλῶνας ἐυρρίζου καπέτοισιν,
πολλάκι δὲ στέφος αὐτὸ κορυμβηλοῖο φυτεύσαις
θρασκίον ἢ ἀργωπὸν ἠὲ κλαδέεσσι πλανήτην·
βλαστοδρεπιδεχύτοιο καὶ ἐς μίαν ὄρσεο κόρσην,
σπεῖραν ὑπὸ σπυρίδεσσι νεοπλέκτοισι καθάπτων,
ὄφρα δύο κροκόωντες ἐπιζυγέοντε κόρυμβοι,
d μέσφα συνωρίζωσιν ὑπερφιάλοιο μετώπου
χλωροῖς ἀμφοτέρωθεν ἐπηρεφέες πετάλοισιν.
σπέρματι μὴν κάλυκες κεφαληγόνοι ἀντελέουσιν
ἀργήεις πετάλοισι, κρόκῳ μέσα χροισθεῖσαι,
ἃ κρίνα, λείρια δ' ἄλλοι ἐπιφθέγγονται ἀοιδῶν,
οἳ δὲ καὶ ἀμβροσίην, πολέες δέ γε χάρμ' Ἀφροδίτης·
ἤρισε γὰρ χροιῇ. τὸ δέ που ἐπὶ μέσσον ὄνειδος

ὅπλον βρωμήταο διεκτέλλον πεφάτισται. e
ἶρις δ' ἐν ῥίζῃσιν ἀγαλλιάς, ἥ θ' ὑακίνθῳ
αἰαστῇ προσέοικε χελιδονίοισι δὲ τέλλει
ἄνθεσιν ἰσοδρομεῦσα χελιδόσιν· ἧ τ' ἀνὰ κόλπῳ
φυλλάδα νηλείην ἐκχεύετον, ἀρτίγονοι δὲ
εἴδοντ' ἠμύουσαι ἀεὶ κάλυκες στομίοισιν.
σὺν καί πέρ τ' ὀξεῖα χροῇ λυχνὶς οὐδὲ θρυαλλίς,
οὐδὲ μὲν ἀνθεμίδων κενεὴ γηρύσεται ἀκμή,
οὐδὲ βοάνθεμα κεῖνα τά τ' αἰπύτατον κάρη ὑψοῖ,
φλόξ τε θεοῦ αὐγῇσιν ἀνερχομένης ἄουσα.
ἕρπυλλον δ' ἐφύδροισιν ἐνὶ βώλοισι φυτεύσεις, f
ὄφρα κλάδοις μακροῖσιν ἐφερπύζων διάηται,
ἠδὲ κατακρεμάῃσιν ἐφιμείρων ποτὰ νυμφέων.
καὶ δ' αὐτῆς μήκωνος . . .
. . . . . . . ἄπο πλαταγώνια βάλλοις,
ἄβρωτον κώδειαν ὄφρα κνώπεσσι φυλάξῃ.
φυλλάσιν ἧ γὰρ πάντα διοιγομένῃσιν ἐφίζει
ἑρπετά, τὴν δὲ δρόσοισιν ἐισκομένην βοτέονται
κώδειαν, καρποῖο μελιχροτέρου πλήθουσαν. 684
θρίων δ' οἰχομένων ῥέα μὲν φλόγες, ἄλλοτε ῥιπαὶ
πῆξαν σάρκα τυπῇσι· τὰ δ' οὐ βάσιν ἐστήριξαν,
(θρῖα δ' οὐ λέγει τὰ τῆς συκῆς ἀλλὰ τὰ τῆς μήκωνος.)
οὔτε τί πω βρώμην ποτιδεγμένα· πολλάκι δ' ἴχνη
στιφροῖς ὠλίσθησαν ἐνιχρίμψαντε καρείοις.
ἁδρύνει δὲ βλαστὰ βαθεῖ' ἐν τεύχεϊ κόπρος
σαμψύχου λιβάνου τε νέας κλάδας ἠδ' ὅσα κῆποι b
ἀνδράσιν ἐργοπόνοις στεφάνους ἔπι πορσαίνουσιν.
ἧ γὰρ καὶ λεπταὶ πτερίδες καὶ παιδὸς ἔρωτες
λεύκῃ ἰσαιόμενοι, ἐν καὶ κρόκος εἴαρι μύων,
κύπρος τ' ὀσμηρόν τε σισύμβριον, ὅσσα τε κοίλοις

ἄσπορα ναιομένοισι τόποις ἀνεθρέψατο λειμὼν
κάλλεα, βουφθαλμόν τε καὶ εὐειδὲς Διὸς ἄνθος,
c κάλχας, σὺν δ᾽ ὑάκινθον ἰωνιάδας τε χαμηλὰς
ὀρφνοτέρας, ἃς στύξε μετ᾽ ἄνθεσι Περσεφόνεια·
σὺν δὲ καὶ ὑψῆέν τε πανόσμεον ὅσσα τε τύμβοι
φάσγανα παρθενικαῖς νεοδουπέσιν ἀμφιχέονται,
αὐταί τ᾽ ἠίθεαι ἀνεμωνίδες ἀστράπτουσαι
τηλόθεν ὀξυτέρῃσιν ἐφελκόμεναι χροιῇσιν.
(ἐν ἐνίοις δὲ γράφεται ‛ἐφελκόμεναι φιλοχροιαῖς.᾽)
d πᾶς δέ τις ἢ ἑλένειον ἢ ἀστέρα φωτίζοντα
δρέψας εἰνοδίοισι θεῶν παρακάββαλε σηκοῖς,
ἢ αὐτοῖς βρετάεσσιν, ὅτε πρώτιστον ἴδωνται·
πολλάκι θέλκια καλά, τοτὲ χρυσανθὲς ἀμέργων,
λείριά τε στήλῃσιν ἐπιφθίνοντα καμόντων,
καὶ γεραὸν πώγωνα καὶ εὐτραπέας κυκλαμίνους,
σαύρην θ᾽ ἣ χθονίου πέφαται στέφος Ἡγεσιλάου.

32. ἐκ τούτων τῶν ἐπῶν δῆλον γίνεται ὅτι ἕτερόν
e ἐστι τὸ χελιδόνιον τῆς ἀνεμώνης. τινὲς γὰρ ταὐτὸ
εἶναί φασι. Θεόφραστος δέ φησι τὰς ἀνθήσεις λαμβάνειν συνακολουθοῦντα τοῖς ἄστροις τὸ ἡλιοτρόπιον καλούμενον καὶ τὸ χελιδόνιον· καὶ γὰρ τοῦτο ἅμα τῇ χελιδόνι ἀνθεῖ. καὶ ἀμβροσίαν δὲ ἄνθος τι ἀναγράφει ὁ Καρύστιος ἐν ἱστορικοῖς ὑπομνήμασι λέγων οὕτως ‛Νίκανδρός φησιν ἐξ ἀνδριάντος τῆς κεφαλῆς Ἀλεξάνδρου τὴν καλουμένην ἀμβροσίαν φύεσθαι ἐν Κῷ.᾽ προείρηται δ᾽ ἄνω περὶ αὐτῆς ὅτι τὸ κρίνον
f οὕτω λέγουσι. Τιμαχίδας δ᾽ ἐν τετάρτῳ Δείπνου καὶ θήσειόν τι ἀναγράφει καλούμενον ἄνθος

θήσειόν θ᾽ ἁπαλὸν μήλῳ ἐναλίγκιον ἄνθος,
Λευκερέης ἱερὸν περικαλλέος, ὅ ῥα μάλιστα
φίλατο.

ἀπὸ τούτου δέ φησι τοῦ ἄνθους καὶ τὸν τῆς Ἀριάδνης

καλούμενον στέφανον πεπλέχθαι. καὶ ὁ Φερεκράτης
δὲ ἢ ὁ πεποιηκὼς τὸ δρᾶμα τοὺς Πέρσας μνημονεύων 685
καὶ αὐτὸς ἀνθῶν τινῶν στεφανωτικῶν φησίν

ὦ μαλάχας μὲν ἐξερῶν, ἀναπνέων δ' ὑάκινθον,
καὶ μελιλώτινον λαλῶν καὶ ῥόδα προσσεσηρώς·
ὦ φιλῶν μὲν ἀμάρακον, προσκυνῶν δὲ σέλινα,
γελῶν δ' ἱπποσέλινα καὶ κοσμοσάνδαλα βαίνων,
ἔγχει κἀπιβόα τρίτον παιῶν', ὡς νόμος ἐστίν.

ὁ δὲ πεποιηκὼς τοὺς εἰς αὐτὸν ἀναφερομένους Μεταλλεῖς φησίν

ὑπ' ἀναδενδράδων ἁπαλὰς ἀσπαλάθους πατοῦντες
ἐν λειμῶνι λωτοφόρῳ, κύπειρόν τε δροσώδη, b
κἀνθρύσκου μαλακῶν τ' ἴων λείμακα καὶ τριφύλλου.

ἐν τούτοις ζητῶ τί τὸ τρίφυλλον. καὶ γὰρ εἰς Δημαρέτην ἀναφέρεταί τι ποιημάτιον ὃ ἐπιγράφεται Τρίφυλλον. κἀν τοῖς ἐπιγραφομένοις δὲ Ἀγαθοῖς Φερεκράτης ἢ Στράττις φησί

λουσάμενοι δὲ πρὸ λαμπρᾶς
ἡμέρας ἐν τοῖς στεφανώμασιν, οἳ δ' ἐν τῷ μύρῳ
λαλεῖτε περὶ σισυμβρίων κοσμοσανδάλων τε.

καὶ Κρατῖνος ἐν Μαλθακοῖς

παντοίοις γε μὴν κεφαλὴν ἀνθέμοις ἐρέπτομαι,
λειρίοις, ῥόδοις, κρίνεσιν, κοσμοσανδάλοις, ἴοις, c
καὶ σισυμβρίοις, ἀνεμωνῶν κάλυξί τ' ἠριναῖς,
ἑρπύλλῳ, κρόκοις, ὑακίνθοις, ἑλιχρύσου κλάδοις,
οἰνάνθῃσιν, ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ,
ἀνθρύσκου φόβῃ . . .
τῷ τ' ἀειφρούρῳ μελιλώτῳ κάρα πυκάζομαι,
καὶ δὴ κύτισος αὐτόματος παρὰ Μέδοντος ἔρχεται.

33. ἡ δὲ τῶν στεφάνων καὶ μύρων πρότερον εἴσοδος εἰς τὰ συμπόσια ἡγεῖτο τῆς δευτέρας τραπέζης, ὡς παρίστησι Νικόστρατος ἐν Ψευδοστιγματίᾳ διὰ τούτων

d καὶ σὺ μὲν
τὴν δευτέραν τράπεζαν εὐτρεπῆ ποίει,
κόσμησον αὐτὴν παντοδαποῖς τραγήμασιν,
μύρον στεφάνους λιβανωτὸν αὐλητρίδα λαβέ.

Φιλόξενος δ' ὁ διθυραμβοποιὸς ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ ἀρχὴν ποιεῖται τὸν στέφανον τῆς εὐωχίας οὑτωσὶ λέγων

κατὰ χειρὸς δ'
ἤλυθ' ὕδωρ· ἁπαλὸς παιδίσκος ἐν ἀργυρέᾳ
πρόχῳ φέρων ἐπέχευεν.
εἶτ' ἔφερε στέφανον λεπτᾶς ἀπὸ μυρτίδος εὐ-
γνήτων κλάδων δισύναπτον.

e Εὔβουλος Τιτθαῖς

ὡς γὰρ εἰσῆλθε τὰ γερόντια τότ' εἰς δόμους,
εὐθὺς ἀνεκλίνετο· παρῆν στέφανος ἐν τάχει,
ᾔρετο τράπεζα, παρέκειθ' ἅμα τετριμμένη
μᾶζα χαριτοβλέφαρος.

τοῦτο δ' ἦν ἔθος καὶ παρ' Αἰγυπτίοις, ὡς Νικόστρατός φησιν ἐν Τοκιστῇ. Αἰγύπτιον γὰρ ὑποστησάμενος τὸν τοκιστήν φησι

καταλαμβάνομεν τὸν πορνοβόσκον καὶ δύο
f ἑτέρους κατὰ χειρὸς ἀρτίως εἰληφότας
καὶ στέφανον. Β. εἶεν· καλὸς ὁ καιρός, Χαιρεφῶν.

σὺ δὲ γαστρίζου, Κύνουλκε· καὶ μετὰ ταῦτα ἡμῖν εἰπὲ διὰ τί Κρατῖνος εἴρηκε τὸν μελίλωτον 'τῷ τ' ἀειφρούρῳ μελιλώτῳ.' ἐπεὶ δέ σε ὁρῶ ἔξοινον ἤδη γεγενημένον (οὕτως δ' εἴρηκε τὸν μεθύσην Ἄλεξις ἐν Εἰσοικιζομένῳ) παύσομαί σε ἐρεσχηλῶν, καὶ τοῖς παισὶ

παρακελεύομαι κατὰ τὸν Σοφοκλέα, ὃς ἐν Συνδεί-πνοις φησί

φορεῖτε, μασσέτω τις, ἐγχείτω βαθὺν 686
κρατῆρ᾽· ὅδ᾽ ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς
ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται.

καὶ κατὰ τὸν Φλιάσιον δ᾽ Ἀριστίαν· καὶ γὰρ οὗτος ἐν ταῖς ἐπιγραφομέναις Κηρσὶν ἔφη

σύνδειπνος ἢ ᾽πίκωπος ἢ μαζαγρέτας,
Ἅιδου τραπεζεύς, ἀκρατέα νηδὺν ἔχων.

ἐπεὶ δὲ τοσούτων λεχθέντων μηδὲν ἀποκρίνεται, κελεύω αὐτὸν κατὰ τοὺς Ἀλέξιδος Διδύμους χυδαίοις στεφανωθέντα στεφάνοις ἐξάγεσθαι τοῦ συμποσίου. τῶν δὲ χυδαίων στεφάνων μνημονεύων ὁ κωμῳδιο- b ποιός φησι

στεφάνων δὲ τουτωνὶ χύδην πεπλεγμένων.

κἀγὼ δ᾽ ἐπὶ τούτοις τοῦ λέγειν ἤδη παύσομαι τὸ τήμερον, παραχωρῶ τε τὸν περὶ τῶν μύρων λόγον τοῖς βουλομένοις διεξέρχεσθαι, τῷ τε παιδὶ προστάττω ἐπὶ τῇ στεφανηφόρῳ ταύτῃ μου διαλέξει κατὰ τὸν Ἀντι[φάνην

στε]φάνους ἐνεγκεῖν δεῦρο τῶν χρηστῶν δύο
καὶ δᾷδα χρηστὴν ἡμμένην χρηστῷ πυρί. c

οὕτω γὰρ τὴν τῶν λόγων διέξοδον ὥσπερ δράματος ποιήσομαι. καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας ὥσπερ αὐτοῦ σιωπὴν καταμαντευσάμενος ἀπέθανεν εὐτυχῶς, οὐδένα καιρὸν νόσῳ παραδούς, πολλὰ δὲ λυπήσας ἡμᾶς τοὺς ἑταίρους.

34. περιενεγκόντων δὲ τῶν παίδων ἐν ἀλαβάστροις καὶ ἄλλοις χρυσοῖς σκεύεσι μύρα τὸν Κύνουλκον θεασάμενός τις πολλῷ τῷ μύρῳ τὸ πρόσωπον ἐπέχρισεν. ὃ δὲ διεγερθεὶς καὶ μόλις ἑαυτὸν ἀναλαβών, τί τοῦτ᾽; εἶπεν, Ἡράκλεις, οὐ σπογγιᾷ τίς μου d

παρελθὼν τὸ πρόσωπον ἐκκαθαρίσει μεμολυσμένον μαγγανείαις πολλαῖς; ἢ οὐκ οἴδατε καὶ τὸν καλὸν Ξενοφῶντα ἐν τῷ Συμποσίῳ ποιοῦντα τὸν Σωκράτην τοιαυτὶ λέγοντα 'νὴ Δί', ὦ Καλλία, τελέως ἡμᾶς ἑστιᾷς· οὐ γὰρ μόνον δεῖπνον ἄμεμπτον παρέθηκας, ἀλλὰ καὶ ἀκροάματα καὶ θεάματα ἥδιστα παρέχεις. τί οὖν εἰ καὶ μύρον ἐνέγκαι τις ἡμῖν, ἵνα καὶ εὐωδίᾳ ἑστιώμεθα; μηδαμῶς, ἔφη ὁ Σωκράτης. ὥσπερ γάρ τοι ἐσθὴς ἄλλη μὲν γυναικεία ἄλλη δὲ ἀνδρεία καλή,
e οὕτω καὶ ὀσμὴ ἄλλη μὲν γυναικί ἄλλη δὲ ἀνδρὶ πρέπει. καὶ γὰρ ἀνδρὸς μὲν δή που ἕνεκεν οὐδεὶς μύρῳ χρίεται. αἵ γε μὴν γυναῖκες, ἄλλως τ' ἐὰν καὶ νύμφαι τύχωσιν οὖσαι, ὥσπερ ἡ Νικηράτου τε τούτου καὶ ἡ Κριτοβούλου, μύρου μέν τι καὶ προσδέονται· αὐταὶ γὰρ τούτου ὄζουσιν. ἐλαίου δὲ τοῦ ἐν γυμνασίοις ὀσμὴ καὶ παρουσία ἀνδρῶν ἢ μύρου γυναιξὶν ἡδίων καὶ ἀπουσία ποθεινοτέρα. καὶ γὰρ δὴ μύρῳ μὲν ἀλειψάμενος δοῦλος καὶ ἐλεύθερος εὐθὺς ἅπας ὅμοιον ὄζει, αἱ δ' ἀπὸ τῶν ἐλευθερίων μόχθων ὀσμαὶ
f ἐπιτηδευμάτων τε πρῶτον χρηστῶν καὶ χρόνου πολλοῦ δέονται, εἰ μέλλουσιν ἡδεῖαί τε καὶ ἐλευθέριαι ἔσεσθαι.' καὶ ὁ θαυμασιώτατος δὲ Χρύσιππος τὴν ὀνομασίαν φησὶ λαβεῖν τὰ μύρα ἀπὸ τοῦ μετὰ πολλοῦ μόρου καὶ πόνου ματαίου γίνεσθαι. Λακεδαιμόνιοί τε ἐξελαύνουσι τῆς Σπάρτης τοὺς τὰ μύρα κατασκευάζοντας ὡς διαφθείροντας τοὔλαιον, καὶ τοὺς τὰ ἔρια
687 δὲ βάπτοντας ὡς ἀφανίζοντας τὴν λευκότητα τῶν ἐρίων. Σόλων τε ὁ σοφὸς διὰ τῶν νόμων κεκώλυκε τοὺς ἄνδρας μυροπωλεῖν.

35. νῦν δὲ τῶν ἀνθρώπων οὐχ αἱ ὀσμαὶ μόνον, ὥς φησι Κλέαρχος ἐν τρίτῳ περὶ βίων, ἀλλὰ καὶ αἱ χροιαὶ τρυφερὸν ἔχουσαί τι συνεκθηλύνουσι τοὺς

μεταχειριζομένους. ὑμεῖς δ᾽ οἴεσθε τὴν ἁβρότητα χωρὶς ἀρετῆς ἔχειν τι τρυφερόν; καίτοι Σαπφώ, γυνὴ μὲν πρὸς ἀλήθειαν οὖσα καὶ ποιήτρια, ὅμως ᾐδέσθη τὸ καλὸν τῆς ἁβρότητος ἀφελεῖν λέγουσα ὧδε

ἐγὼ δὲ φίλημ᾽ ἁβροσύναν, καί μοι τὸ λαμπρὸν
ἔρος ἀελίω καὶ τὸ καλὸν λέλογχε, b

φανερὸν ποιοῦσα πᾶσιν ὡς ἡ τοῦ ζῆν ἐπιθυμία τὸ λαμπρὸν καὶ τὸ καλὸν εἶχεν αὐτῇ. ταῦτα δ᾽ ἐστὶν οἰκεῖα τῆς ἀρετῆς. Παρράσιος δ᾽ ὁ ζωγράφος, καίπερ παρὰ μέλος ὑπὲρ τὴν ἑαυτοῦ τέχνην τρυφήσας καὶ τὸ λεγόμενον ἐλευθέριον ἐκ ῥαβδίων ὡς ἔκ τινων ποτηρίων ἑλκύσας, λόγῳ γοῦν ἀντελάβετο τῆς ἀρετῆς ἐπιγραψάμενος τοῖς ἐν Λίνδῳ πᾶσιν αὐτοῦ ἔργοις

ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ᾽ ἔγραψα
Παρράσιος.

ᾧ κομψός τις, ὡς ἐμοὶ δοκεῖ, ὑπεραλγήσας ῥυπαίνοντι τὸ τῆς ἀρετῆς ἁβρὸν καὶ καλόν, ἅτε φορτικῶς μετα- c
καλεσαμένῳ εἰς τρυφὴν τὴν δοθεῖσαν ὑπὸ τῆς τύχης χορηγίαν, παρέγραψε τὸ 'ῥαβδοδίαιτος ἀνήρ.' ἀλλ᾽ ὅμως διὰ τὸ τὴν ἀρετὴν φῆσαι τιμᾶν ἀνεκτέον. ταῦτα μὲν ὁ Κλέαρχος. Σοφοκλῆς δ᾽ ὁ ποιητὴς ἐν Κρίσει τῷ δράματι τὴν μὲν Ἀφροδίτην ἡδονικήν τινα οὖσαν δαίμονα μύρῳ τε ἀλειφομένην παράγει καὶ κατοπτριζομένην, τὴν δ᾽ Ἀθηνᾶν φρόνησιν οὖσαν καὶ νοῦν ἔτι δ᾽ ἀρετὴν ἐλαίῳ χριομένην καὶ γυμναζομένην.

36. τούτοις ἀπαντήσας ὁ Μασούριος ἔφη, ὦ δαι- d
μόνι᾽ ἀνδρῶν οὐκ οἶδας ὅτι αἱ ἐν τῷ ἐγκεφάλῳ ἡμῶν αἰσθήσεις ὀσμαῖς ἡδείαις παρηγοροῦνται προσέτι τε θεραπεύονται, καθὰ καὶ Ἄλεξίς φησιν ἐν Πονήρᾳ οὕτως

ὑγιείας μέρος
μέγιστον, ὀσμὰς ἐγκεφάλῳ χρηστὰς ποιεῖν.

καὶ ὁ ἀνδρειότατος δὲ προσέτι δὲ καὶ πολεμικὸς ποιητὴς Ἀλκαῖος ἔφη

κὰδ δὲ χευάτω μύρον ἆδυ κὰτ τῶ
στήθεος ἄμμι.

e καὶ ὁ σοφὸς δ' Ἀνακρέων λέγει που

τί λίην πέτεαι
συρίγγων κοϊλώτερα
στήθεα χρισάμενος μύρῳ;

τὰ στήθη παρακελευόμενος μυροῦν, ἐν οἷς ἐστιν ἡ καρδία, ὡς καὶ ταύτης δῆλον ὅτι παρηγορουμένης τοῖς εὐώδεσι. τοῦτο δ' ἔπραττον οὐ μόνον τῆς εὐωδίας ἀπὸ τοῦ στήθους κατὰ φύσιν ἀναφερομένης ἐπὶ τὴν ὄσφρησιν, ἀλλὰ καὶ διὰ τὸ νομίζειν ἐν τῇ καρδίᾳ τὴν ψυχὴν καθιδρῦσθαι, ὡς Πραξαγόρας καὶ Φιλότι-
f μος οἱ ἰατροὶ παραδεδώκασι. καὶ Ὅμηρος δέ φησι

στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ.

καί

κραδίη δέ οἱ ἔνδον ὑλάκτει.

καί

Ἕκτορι δ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσε.

ὃ δὴ καὶ σημεῖον φέρουσι τοῦ τὸ κυριώτερον τῆς ψυχῆς ἐνταῦθα κεῖσθαι· κατὰ γὰρ τὰς ἐν τοῖς φόβοις γινομένας ἀγωνίας πάλλεσθαι τὴν καρδίαν ἐπιδηλό-
688 τατα συμβαίνει. καὶ ὁ Ἀγαμέμνων δέ φησιν ὁ ὁμηρικός

αἰνῶς γὰρ Δαναῶν πέρι δείδια, οὐδέ μοι ἦτορ
ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι· κραδίη δέ μοι ἔξω
στηθέων ἐκθρώσκει, τρομέει δ' ὕπο φαίδιμα γυῖα.

καὶ ὁ Σοφοκλῆς δὲ τὰς ἀπολελυμένας τοῦ φόβου πεποίηκε λεγούσας

θυμῷ δ' οὐκέτι καρδία
χορεύει τάρβους θυγάτηρ.

Ἀναξανδρίδης δὲ τὸν ἀγωνιῶντα παράγει λέγοντα

ὦ πονηρὰ καρδία, b
ἐπιχαιρέκακον ὡς εἶ μόνον τοῦ σώματος.
ὀρχεῖ γὰρ εὐθύς, ἢν ἴδῃς δεδοικότα.

Πλάτων δέ φησι τὸν τῶν ὅλων δημιουργὸν καὶ τὴν τοῦ πλευμόνος αὐτῇ φύσιν παραθεῖναι, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵν᾽ ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ πολλάκις ἁλλομένη τὸν παλμὸν εἰς ὑπεῖκον καὶ μαλακὸν ποιῆται. ἀλλὰ μὴν καὶ τοὺς στεφάνους τοὺς c περικειμένους τῷ στήθει ὑποθυμιάδας οἱ ποιηταὶ κεκλήκασιν ἀπὸ τῆς τῶν ἀνθῶν ἀναθυμιάσεως, οὐκ ἀπὸ τοῦ τὴν ψυχὴν θυμὸν καλεῖσθαι, ὥς τινες ἀξιοῦσι.

37. τῷ δὲ τοῦ μύρου ὀνόματι πρῶτος Ἀρχίλοχος κέχρηται λέγων

οὐκ ἂν μύροισι γραῦς ἐοῦσ᾽ ἠλείφετο.

καὶ ἀλλαχοῦ δ᾽ ἔφη

ἐσμυρισμένη κόμας
καὶ στῆθος, ὡς ἂν καὶ γέρων ἠράσσατο.

μύρρα γὰρ ἡ σμύρνα παρ᾽ Αἰολεῦσι, ἐπειδὴ τὰ πολλὰ τῶν μύρων διὰ σμύρνης ἐσκευάζετο, καὶ ἥ γε στακτὴ καλουμένη διὰ μόνης ταύτης. ὁ δὲ Ὅμηρος τὴν μὲν χρῆσιν οἶδε τῶν μύρων, ἔλαια δ᾽ αὐτὰ καλεῖ μετ᾽ d ἐπιθέτου

ῥοδόεντι δ᾽ ἔχριεν ἐλαίῳ.

καὶ ἀλλαχοῦ δὲ λέγει τι τεθυωμένον. καὶ ἡ Ἀφροδίτη δὲ παρ᾽ αὐτῷ τὸν Ἕκτορος νεκρὸν ῥοδόεντι ἔχριεν ἐλαίῳ ἀμβροσίῳ. καὶ τοῦτο μὲν ἐξ ἀνθέων. περὶ δὲ τοῦ ἐκ τῶν ἀρωμάτων σκευαζομένου, ἃ δὴ θυώματα ἐκάλουν, ἐπὶ τῆς Ἥρας λέγει

ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος

λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ χρόα λευκὸν
e ἀμβροσίῳ ἑανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
τοῦ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀυτμή.

38. γίνεται δὲ μύρα κάλλιστα κατὰ τόπους, ὡς Ἀπολλώνιός φησιν ὁ ἡροφίλειος ἐν τῷ περὶ μύρων, γράφων οὕτως· ἶρις μὲν ἐν Ἤλιδι χρηστοτάτη καὶ ἐν Κυζίκῳ, ῥόδινον δὲ κράτιστον ἐν Φασήλιδι καὶ τὸ ἐκ Νέας δὲ πόλεως καὶ Καπύης, κρόκινον δ' ἐν Σόλοις τοῖς κιλικίοις καὶ ἐν Ῥόδῳ, νάρδινον δὲ τὸ ἐν Τάρσῳ, οἰνάνθη δὲ ἡ κυπρία καὶ ἀδραμυττηνή, ἀμαράκινον f κῷον καὶ μήλινον, κύπρινον δὲ προκέκριται τὸ ἐν Αἰγύπτῳ, δευτερεῦον δ' ἐστὶ τὸ κυπριακὸν καὶ τὸ ἐν Φοινίκῃ καὶ ταύτης τὸ ἀπὸ Σιδῶνος. τὸ δὲ παναθηναϊκὸν λεγόμενον ἐν Ἀθήναις, τὸ δὲ μετώπιον καὶ μενδήσιον κάλλιστα ἐν Αἰγύπτῳ σκευάζεται· σκευάζεται δὲ τὸ μετώπιον ἐξ ἐλαίου τοῦ ἀπὸ τῶν πικρῶν καρύων. οἱ δὲ χορηγοῦντες, φησί, καὶ ἡ ὕλη καὶ οἱ τεχνῖται τὸ χρηστότατον ποιοῦσι μύρον, ἀλλ' οὐχ οἱ τόποι. Ἔφεσός γέ τοι πρότερον, φασί, τοῖς μύροις
689 διέφερε καὶ μάλιστα ἐν τῷ μεγαλλείῳ, νῦν δὲ οὔ. ἤκμασε δὲ καὶ τὰ ἐν Ἀλεξανδρείᾳ διὰ πλοῦτον καὶ διὰ τὴν Ἀρσινόης καὶ Βερενίκης σπουδήν. ἐγίνετο δὲ καὶ ἐν Κυρήνῃ ῥόδινον χρηστότατον καθ' ὃν χρόνον ἔζη Βερενίκη ἡ Μάγα. οἰνάνθινον δ' ἐν Ἀδραμυττίῳ πάλαι μὲν μέτριον, ὕστερον δὲ πρῶτον διὰ Στρατονίκην τὴν Εὐμένους. ἡ δὲ Συρία τὸ παλαιὸν χρηστὰ πάντα παρείχετο, μάλιστα δὲ τὸ τήλινον, νῦν δ' οὔ.
b ἐν δὲ Περγάμῳ πρότερον μὲν ἐξοχή, νῦν δ' οὔ, μυρεψοῦ τινος ἐκπονήσαντος, τὸ παρ' οὐδενί πω γεγονὸς ἐσκευάσθη λιβανώτινον μύρον. μύρον δὲ χρηστὸν

μύρῳ εὐτελεῖ ἐπιχεόμενον ἐπιπολῆς μένει. μέλι δὲ
χρηστὸν χείρονι ἐπιχεόμενον εἰς τὸ κάτω βιάζεται·
λαμβάνει γὰρ αὐτοῦ καθύπερθεν τὸ ἧττον.'

39. τοῦ δ' αἰγυπτίου μύρου μνημονεύων Ἀχαιὸς
ἐν Ἄθλοις φησίν

ἰσαργύρου τ' ἐς χεῖρα κυπρίου λίθου
δώσουσι κόσμον, χριμάτων τ' αἰγυπτίων . . .

μήποτε, φησὶν ὁ Δίδυμος, τὴν καλουμένην στακτὴν
λέγει, διὰ τὴν σμύρναν, ἣν εἰς Αἴγυπτον καταγομέ- c
νην κομίζεσθαι πρὸς τοὺς Ἕλληνας. Ἱκέσιος δ' ἐν δευ-
τέρῳ περὶ ὕλης ‛τῶν μύρων (φησὶν) ἃ μέν ἐστι χρί-
ματα ἃ δ' ἀλείμματα. καὶ ῥόδινον μὲν πρὸς πότον
ἐπιτήδειον, ἔτι δὲ μύρσινον, μήλινον· τοῦτο δ' ἐστὶ
καὶ εὐστόμαχον καὶ ληθαργικοῖς χρήσιμον. τὸ δ' οἰ-
νάνθινον εὐστόμαχον ὂν καὶ τὴν διάνοιαν ἀπαραπό-
διστον φυλάσσει. καὶ τὸ σαμψύχινον δὲ καὶ ἑρπύλ-
λινον ἐπιτήδεια πρὸς πότον καὶ κρόκινον τὸ χωρὶς
σμύρνης πολλῆς. καὶ ἡ στακτὴ δ' ἐπιτήδειος πρὸς d
πότον, ἔτι δὲ νάρδος. τὸ δὲ τήλινον καὶ γλυκύ ἐστι
καὶ ἁπαλόν. τὸ δὲ λευκόινον καὶ εὐῶδες καὶ σφόδρα
πεπτικόν.' Θεόφραστος δὲ ἐν τῷ περὶ ὀδμῶν συντί-
θεσθαί φησι μύρα ἀπ' ἀνθέων μὲν ῥόδινον καὶ λευ-
κόινον καὶ σούσινον, καὶ γὰρ τοῦτο ἐκ τῶν κρίνων·
ἔτι δὲ τὸ σισύμβρινον καὶ ἑρπύλλινον, ἥ τε κύπρος
καὶ τὸ κρόκινον· βέλτιστον δ' ἐν Αἰγίνῃ καὶ Κιλικίᾳ.
ἀπὸ δὲ φύλλων τὸ μύρρινον καὶ τὸ οἰνάνθινον· αὕτη
δ' ἐν Κύπρῳ φύεται ὀρεινὴ καὶ πολύγονος· ἐν δὲ
Ἑλλάδι οὐ γίνεται διὰ τὸ ἄοσμον. διὰ δὲ ῥιζῶν τό e
τ' ἴρινον καὶ τὸ νάρδινον καὶ τὸ ἀμαράκινον ἐκ τοῦ
κόστου.'

40. ὅτι δὲ διὰ σπουδῆς ἦν τοῖς παλαιοτέροις ἡ
τῶν μύρων χρῆσις δῆλον ἐκ τοῦ καὶ ἐπίστασθαι ποῖόν

τι ἑκάστῳ τῶν μελῶν ἡμῶν ἐστὶν ἐπιτήδειον. Ἀντιφάνης γοῦν ἐν Θορικίοις ἢ Διορύττοντί φησι

λοῦται δ' ἀληθῶς· ἀλλὰ τί;
ἐκ χρυσοκολλήτου δὲ κάλπιδος μύρῳ
αἰγυπτίῳ μὲν τοὺς πόδας καὶ τὰ σκέλη,
φοινικίνῳ δὲ τὰς γνάθους καὶ τιτθία,
f σισυμβρίνῳ δὲ τὸν ἕτερον βραχίονα . . .
ἀμαρακίνῳ δὲ τὰς ὀφρῦς καὶ τὴν κόμην,
ἑρπυλλίνῳ δὲ τὸ γόνυ καὶ τὸν αὐχένα.

καὶ Κηφισόδωρος ἐν Τροφωνίῳ

ἔπειτ' ἀλείφεσθαι πρίω τὸ σῶμά μοι
μύρον ἴρινον καὶ ῥόδινον· ἄγαμαι, Ξανθία·
καὶ τοῖς ποσὶν χωρὶς πρίω μοι βάκχαριν.
Β. ὦ λακκόπρωκτε, βάκχαριν τοῖς σοῖς ποσὶν
ἐγὼ πρίωμαι; λαικάσομ' ἄρα. βάκχαριν;

Ἀναξανδρίδης Πρωτεσιλάῳ

μύρον τε παρὰ Πέρωνος, οὗπερ ἀπέδοτο
690 ἐχθὲς Μελανώπῳ, πολυτελοῦς αἰγυπτίου,
ᾧ νῦν ἀλείφει τοὺς πόδας Καλλιστράτου.

μνημονεύει τοῦ μυροπώλου τούτου τοῦ Πέρωνος καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει. Ἀντιφάνης δ' ἐν Ἀντείᾳ

πρὸς τῷ μυροπώλῃ γενόμενον κατελίμπανον
[αὐτὸν] περὶ τὸ μύρον. μέλλει δὲ συνθείς σοι
φέρειν
τὰ κινναμώμινα ταῦτα καὶ τὰ νάρδινα.

41. παρὰ πολλοῖς δὲ τῶν κωμῳδιοποιῶν ὀνομάζεταί τι μύρον βάκκαρις· οὗ μνημονεύει καὶ Ἱππῶναξ διὰ τούτων

b βακκάρι δὲ τὰς ῥῖνας
ἤλειφον· ἔστι δ' οἶά περ κρόκος . . .

Ἀχαιὸς δ' ἐν Αἴθωνι σατυρικῷ

βακκάρει χρισθέντα καὶ ψυκτηρίοις
πτεροῖς ἀναστήσαντα προσθίαν τρίχα.

Ἴων Ὀμφάλῃ

βακκάρις δὲ καὶ μύρα
καὶ σαρδιανὸν κόσμον εἰδέναι χροὸς
ἄμεινον ἢ τὸν Πέλοπος ἐν νήσῳ τρόπον.

ἐν τούτοις σαρδιανὸν κόσμον εἴρηκε τὸ μύρον, ἐπεὶ διαβόητοι ἐπὶ ἡδυπαθείᾳ οἱ Λυδοί· καὶ τὸ παρ' Ἀνακρέοντι λυδοπαθὴς ἀκούουσιν ἀντὶ τοῦ ἡδυπαθής. c μνημονεύει τῆς βακκάριδος καὶ Σοφοκλῆς. Μάγνης δ' ἐν Λυδοῖς

λούσαντα χρὴ καὶ βακκάριδι κεχριμένον.

καὶ μήποτε οὐκ ἔστι μύρον ἡ βάκκαρις. Αἰσχύλος γὰρ ἐν Ἀμυμώνῃ ἀντιδιαστέλλων φησί

κἄγωγε τὰς σὰς βακκάρεις τε καὶ μύρα.

καὶ Σιμωνίδης

κἠλειφόμην μύροισι καὶ θυώμασιν
καὶ βακκάρι.

Ἀριστοφάνης δ' ἐν Θεσμοφοριαζούσαις

ὦ Ζεῦ πολυτίμηθ', οἷον ἐνέπνευσ' ὁ μιαρὸς d
φάσκωλος εὐθὺς λυόμενός μοι τοῦ μύρου
καὶ βακκάριδος.

42. βρενθείου δὲ μύρου μνημονεύει Φερεκράτης ἐν Λήροις οὕτως

ἔστην δὲ κἀκέλευον ἐγχέασθαι νῷν μύρον
βρένθειον, ἵνα τοῖς εἰσοῦσιν ἐγχέῃ.

βασιλείου δὲ μύρου μνημονεύει Κράτης ἐν Γείτοσι λέγων οὕτως

γλυκύτατον δ' ὦζε βασιλείου μύρου.

Σαπφὼ δ' ὁμοῦ μέμνηται τοῦ τε βασιλείου καὶ τοῦ e βρενθείου λέγουσα οὕτως 'βρενθείῳ βασιληίῳ.' ψάγδης Ἀριστοφάνης ἐν Δαιταλεῦσι

φέρ' ἴδω τί σοι δῶ τῶν μύρων. ψάγδαν φιλεῖς;

Εὔπολις δ' ἐν Μαρικᾷ 'ψάγδαν ἐρυγγάνοντα.' Εὔβουλος δ' ἐν Στεφανοπώλισιν

αἰγυπτίῳ ψάγδανι τρὶς λελουμένη.

Πολέμων δ' ἐν τοῖς πρὸς Ἀδαῖον παρὰ Ἠλείοις φησὶ μύρον τι πλαγγόνειον καλεῖσθαι, εὑρεθὲν ὑπό τινος Πλαγγόνος. ὁμοίως ἱστορεῖ καὶ Σωσίβιος ἐν Ὁμοιότησιν.
f ὡς καὶ τὸ μεγάλλειον· ὠνομάσθη γὰρ καὶ τοῦτο ἀπὸ Μεγάλλου τοῦ Σικελιώτου. οἱ δ' Ἀθηναῖόν φασιν εἶναι τὸν Μέγαλλον. μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν Τελμισσεῦσι καὶ Φερεκράτης ἐν Πετάλῃ, Στράττις τ' ἐν Μηδείᾳ οὕτως

καὶ λέγ' ὅτι φέρεις αὐτῇ μύρον
τοιοῦτον οἷον οὐ Μέγαλλος πώποτε
ἥψησεν, οὐδὲ Δεινίας Αἰγύπτιος
οὔτ' εἶδεν οὔτ' ἐκτήσατο.

691 τοῦ μεγαλλείου δὲ μύρου μνημονεύει καὶ Ἄμφις ἐν Ὀδυσσεῖ διὰ τούτων

ἐρίοισι τοὺς τοίχους κύκλῳ μιλησίοις,
ἔπειτ' ἀλείφειν τῷ μεγαλλείῳ μύρῳ,
καὶ τὴν βασιλικὴν θυμιᾶτε μίνδακα.
Β. ἀκήκοας σὺ δέσποτ' ἤδη πώποτε
τὸ θυμίαμα τοῦτο;

Ἀναξανδρίδης Τηρεῖ

ἀλλ' οἷα νύμφη βασιλὶς ὠνομασμένη
μύροις μεγαλλείοισι σῶμ' ἀλείφεται.

ναρδίνου δὲ μύρου μέμνηται Μένανδρος ἐν Κεκρυφάλῳ οὕτως

b ἡδὺ τὸ μύρον, παῖ. Β. νὴ Δί' ἡδύ· πῶς γὰρ οὔ;
νάρδινον.

43. τὸ δὲ χρίσασθαι τῷ τοιούτῳ ἀλείμματι μυρίσασθαι εἴρηκεν Ἀλκαῖος ἐν Παλαίστρᾳ διὰ τούτων

μυρίσασα συγκατέκλεισεν ἀνθ' αὑτῆς λάθρᾳ.

μυρώμασιν μέντοι, οὐ μυρίσμασιν, ἔλεγεν Ἀριστοφάνης ἐν Ἐκκλησιαζούσαις

ἥτις μεμύρισμαι τὴν κεφαλὴν μυρώμασιν.

τῆς δὲ λεγομένης σάγδας, μύρον δ' ἐστὶ καὶ τοῦτο, c Ἐπίλυκος ἐν Κωραλίσκῳ

βάκκαρίς τε καὶ σάγδας ὁμοῦ.

καὶ Ἀριστοφάνης ἐν Δαιταλεῦσι καὶ ἐν Μαρικᾷ Εὔπολις 'σάγδαν ἐρυγγάνοντα' λέγων, ὅπερ ὁ Θυατειρηνὸς Νίκανδρος ἐπὶ τοῦ ἄγαν χλιδῶντος εἰρῆσθαι ἀκούει. Θεόδωρος δὲ θυμίαμά τί φησιν αὐτὸ εἶναι.

44. παμπόλλου δ' ἐπιπράσκετο Ἀθήνησιν ἡ τοῦ μύρου κοτύλη, καὶ ὡς μὲν Ἵππαρχός φησιν ἐν Παννυχίδι πέντε μνῶν, ὡς δὲ Μένανδρος ἐν Μισογύνῃ δέκα. Ἀντιφάνης δ' ἐν Φρεαρρίῳ στακτῆς τοῦ μύρου d μνημονεύων φησί

στακτὴ δυοῖν μναῖν οὐκ ἀρέσκει μ' οὐδαμῶς.

οὐ μόνον δὲ τὸ τῶν Σαρδιανῶν γένος φιλόμυρον ἦν, ὥς Ἄλεξίς φησιν ἐν Ἐκπωματοποιῷ

ἀεὶ φιλόμυρον πᾶν τὸ Σάρδεων γένος,

ἀλλὰ καὶ αὐτοὶ οἱ Ἀθηναῖοι οἱ πάντων τῶν καλλίστων εἰσηγηταὶ τῷ τῶν ἀνθρώπων βίῳ γενόμενοι. παρ' οἷς ἀνυπερβλήτου τιμῆς, ὡς προείρηται, τῶν μύρων ὑπαρχούσης οὐκ ἀπείχοντο τῆς χρήσεως, ὥσπερ οὐδὲ ἡμεῖς νῦν οὕτω πολυτίμων καὶ καλλίστων ὑπαρχόν- e των, ὡς λῆρον εἶναι τὰ ἐν τῷ Εἰσοικιζομένῳ Ἀλέξιδος ταυτί

οὐ γὰρ ἐμυρίζετ' ἐξ ἀλαβάστου, πρᾶγμά τι
γενόμενον ἤδη κρονικόν, ἀλλὰ τέτταρας
περιστερὰς ἀφῆκεν ἀποβεβαμμένας
εἰς οὐχὶ ταυτὸν μὰ Δία τὰς πάσας μύρον,
ἰδίῳ δ' ἑκάστην. πετόμεναι δ' αὗται κύκλῳ

ἔρραινον ἡμῶν θαἰμάτια καὶ στρώματα.
f μή μοι φθονήσητ᾽, ἄνδρες Ἑλλήνων ἄκροι,
ἠλειφόμην ὑόμενος ἰρίνῳ μύρῳ.

45. πρὸς θεῶν, φίλοι, ποία ἡδονὴ μᾶλλον δὲ σαλακωνία θαἰμάτια μολύνεσθαι; ἐξὸν ταῖς χερσίν, ὥσπερ ἡμεῖς νῦν ποιοῦμεν, ἀρυσαμένους ἀλείφεσθαι πᾶν τὸ σῶμα καὶ μάλιστα τὴν κεφαλήν. φησὶ γὰρ ὁ Φιλωνίδης ἐν τῷ περὶ μύρων καὶ στεφάνων τὴν ἀφορμὴν τοῦ τὴν κεφαλὴν ἐν τοῖς πότοις λιπαίνειν ἐντεῦ-
692 θεν γενέσθαι· τοῖς αὐχμῶσι γὰρ τὰς κεφαλὰς εἰς τὸ μετέωρον ἕλκεσθαι τὸ λαμβανόμενον· καὶ διὰ τοῦτο τῶν πυρετῶν διακαιόντων τὰ σώματα τέγγουσι τὴν κεφαλὴν ἐπιβρέγμασιν, ἵνα μὴ πρὸς τὸ ξηρόν, ταύτῃ δὲ καὶ πολύκενον, ὁρμὴν τὰ παρακείμενα λαμβάνῃ. τοῦτο δὴ λογισάμενοι καὶ ἐπὶ τῶν πότων τὴν εἰς μετέωρον τῶν οἴνων φορὰν ὑποπτεύσαντες ἐπεσπάσθησαν κεφαλὴν λιπαίνειν, ὡς ἐλάσσονος βίας γενησο-
b μένης, εἰ ταύτην προτέγξαιεν. προστιθεὶς δ᾽ ὁ βίος ἀεὶ τοῖς χρειώδεσι καὶ τῶν εἰς ἀπόλαυσιν καὶ τρυφὴν ἀγόντων, ἐπὶ τὴν τῶν μύρων χρῆσιν ὥρμησε. χρηστέον οὖν, ὦ Κύνουλκε Θεόδωρε, μύροις παρὰ πότον τοῖς ἐλάχιστα καροῦν δυναμένοις, τοῖς στύφουσι δὲ καὶ ψύχουσιν ἐπ᾽ ὀλίγον. ζητεῖ δ᾽ ὁ πολυμαθέστατος Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς προβλήμασι ʽδιὰ τί οἱ μυριζόμενοι πολιώτεροι; ἢ ὅτι τὸ μύρον διὰ τὰ ἀρώματα ξηραντικόν ἐστι, διὸ καὶ αὐχμηροὶ οἱ μυριζόμενοι; ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ. εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιὰ εἴτ᾽ ἔνδεια θερμοῦ, ἡ ξηρότης μαραί-
c νει. διὸ καὶ τὰ πιλία θᾶττον ποιεῖ πολιούς· ἐκπίνεται γὰρ ἡ οἰκεία τῆς τριχὸς ὑγρότης.᾽

46. ἥδιστον δέ, ἄνδρες φίλοι, ἀναγιγνώσκων τὴν ὀγδόην καὶ εἰκοστὴν τῶν Ποσειδωνίου ἱστοριῶν περὶ

μύρων τι λεγόμενον ἐτήρησα οὐκ ἀλλότριον ἡμῶν τοῦ συμποσίου. φησὶ γὰρ ὁ φιλόσοφος ‘ἐν Συρίᾳ ἐν τοῖς βασιλικοῖς συμποσίοις, ὅταν τοῖς εὐωχουμένοις δοθῶσιν οἱ στέφανοι, εἰσίασί τινες μύρων βαβυλωνίων ἔχοντες ἀσκίδια καὶ πόρρωθεν ἐκ τούτων περιπορευόμενοι τοὺς μὲν στεφάνους τῶν κατακειμένων δροσί- d
ζουσι τοῖς μύροις, ἄλλο μηδὲν ἔξωθεν παραρραίνοντες.’ ἐπεὶ δ’ ἐνταῦθα τοῦ λόγου ἐσμέν, συμβαλοῦμαί τι μέλος ὑμῖν εἰς ἔρωτα, κατὰ τὸν Κυθήριον ποιητήν· ὅτι Ἰανὸς ὁ παρ’ ἡμῖν θεός, ὃν καὶ πατέρα προσαγορεύομεν, πρῶτος εὗρε στέφανον. ἱστορεῖ δὲ τοῦτο Δράκων ὁ Κερκυραῖος ἐν τῷ περὶ λίθων γράφων οὕτως ‘Ἰανὸν δὲ λόγος ἔχει διπρόσωπον γεγονέναι, τὸ μὲν ὀπίσω τὸ δ’ ἔμπροσθεν ἔχοντα πρόσωπον. ἀπὸ τούτου καὶ τὸν Ἰανὸν ποταμὸν καὶ τὸ ὄρος Ἰανὸν ὀνομάζεσθαι, κατοικήσαντος αὐτοῦ ἐπὶ τοῦ ὄρους. πρῶ- e
τον δὲ καὶ στέφανον εὑρεῖν καὶ σχεδίας καὶ πλοῖα καὶ νόμισμα χαλκοῦν πρῶτον χαράξαι. διὸ καὶ τῶν κατὰ τὴν Ἑλλάδα πολλὰς πόλεις καὶ τῶν κατὰ τὴν Ἰταλίαν καὶ Σικελίαν ἐπὶ τοῦ νομίσματος ἐγχαράττειν διπρόσωπον κεφαλὴν καὶ ἐκ θατέρου μέρους ἢ σχεδίαν ἢ στέφανον ἢ πλοῖον. τοῦτον δὲ τὴν ἀδελφὴν γήμαντα Καμίσην υἱὸν μὲν Αἴθηκα θυγατέρα δ’ Ὀλιστήνην γεννῆσαι. καὶ αὐτὸν ὡς μειζόνων ὀρεγόμενον πραγμάτων εἰς τὴν Ἰταλίαν διαπλεῦσαι, καὶ οἰκῆσαι τὸ πλησίον Ῥώμης ὄρος κείμενον τὸ ἀπ’ αὐτοῦ Ἰάνουκλον ὀνομαζόμενον.’

47. τοσαῦτα καὶ περὶ μύρων ἐλέχθη. καὶ μετὰ ταῦτα πλείστων τῶν μὲν ἀγαθοῦ δαίμονος αἰτούντων ποτήριον, τῶν δὲ Διὸς σωτῆρος, ἄλλων δὲ ὑγιείας, καὶ ἑτέρων ἑτέρους ἐπιλεγόντων, τοὺς τούτων τῶν κράσεων μεμνημένους τῶν ποιητῶν ἔδοξε παρατίθε-

σθαι, ὧν καὶ αὐτῶν μνησθήσομαι. Ἀντιφάνης μὲν γὰρ Ἀγροίκοις ἔφη

Ἁρμόδιος ἐπεκαλεῖτο, παιὰν ᾔδετο,
μεγάλην Διὸς σωτῆρος ἄκατον ἦρέ τις.

Ἄλεξις δ' ἐν Τοκιστῇ ἢ Καταψευδομένῳ

ἀλλ' ἔγχεον
693 αὐτῷ Διός ἔτι τήνδε σωτῆρος, θεῶν
θνητοῖς ἁπάντων χρησιμωτάτου πολύ.
Β. ὁ Ζεὺς ὁ σωτήρ, ἂν ἐγὼ διαρραγῶ,
οὐδέν μ' ὀνήσει. Α. πῖθι θαρρῶν.

Νικόστρατος Πανδρόσῳ

ἄγ' ὦ φιλτάτη,
μετανιπτρίδ' αὐτῷ τῆς ὑγιείας ἔγχεον.
λαβὲ τῆς ὑγιείας δὴ σύ. φέρε τυχἀγαθῇ.
τύχη τὰ θνητῶν πράγμαθ', ἡ πρόνοια δὲ
τυφλόν τι κἀσύντακτόν ἐστιν, ὦ πάτερ.

b ἐν δὲ τῷ αὐτῷ δράματι καὶ τῆς τοῦ ἀγαθοῦ δαίμονος κράσεως μνημονεύει, ἧς καὶ σχεδὸν πάντες οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. ἀλλ' ὅ γε Νικόστρατος οὕτως φησίν

ἀλλ' ἐγχέασα θᾶττον ἀγαθοῦ δαίμονος
ἀπενεγκάτω μοι τὴν τράπεζαν ἐκ ποδῶν.
ἱκανῶς κεχόρτασμαι γάρ. ἀγαθοῦ δαίμονος
δέχομαι. λαβοῦσ' ἀπένεγκε ταύτην ἐκ ποδῶν.

Ξέναρχος ἐν Διδύμοις

ὡς ὑπό τι νυστάζειν γε καὐτὸς ἄρχομαι,
c ἡ τἀγαθοῦ γὰρ δαίμονος συνέσεισέ με
ἄκρατος ἐκποθεῖσα φιάλη παντελῶς.
ἡ τοῦ δὲ σωτῆρος Διὸς τάχιστά γε
ἀπώλεσε ναύτην καὶ κατεπόντωσέν μ', ὁρᾷς.

Ἔριφος Μελιβοίᾳ

ἐκπεπήδηκας πρὶν ἀγαθοῦ πρῶτα δαίμονος λαβεῖν,

πρὶν Διὸς σωτῆρος.
48. Θεόφραστος δ' ἐν τῷ περὶ μέθης ʽτὸν ἄκρα-
τον (φησὶν) οἶνον τὸν ἐπὶ τῷ δείπνῳ διδόμενον, ὃν δὴ
λέγουσιν ἀγαθοῦ δαίμονος εἶναι πρόποσιν, ὀλίγον τε d
προσφέρουσιν, ὥσπερ ἀναμιμνήσκοντες μόνον τῇ
γεύσει τὴν ἰσχὺν αὐτοῦ καὶ τὴν τοῦ θεοῦ δωρεάν, καὶ
μετὰ τὴν πλήρωσιν διδόασιν, ὅπως ἐλάχιστον ᾖ τὸ
πινόμενον· καὶ τρίτον προσκυνήσαντες λαμβάνουσιν
ἀπὸ τῆς τραπέζης, καὶ ὥσπερ ἱκετείαν τινὰ ποιούμε-
νοι τοῦ θεοῦ, μηδὲν ἀσχημονεῖν μηδ' ἔχειν ἰσχυρὰν
ἐπιθυμίαν τοῦ πότου τούτου, καὶ λαμβάνειν ἐξ αὐτοῦ
τὰ καλὰ καὶ χρήσιμα.' Φιλόχορος δ' ἐν δευτέρῳ Ἀτ-
θίδος ʽκαὶ θέσμιον (φησὶν) ἐτέθη τότε προσφέρεσθαι
μετὰ τὰ σιτία πᾶσιν ἀκράτου μὲν ὅσον γεῦμα καὶ e
δεῖγμα τῆς δυνάμεως τοῦ ἀγαθοῦ θεοῦ, τὸν δὲ λοιπὸν
ἤδη κεκραμένον. δι' ὃ καὶ τροφοὺς τοῦ Διονύσου τὰς
νύμφας ὀνομασθῆναι.' ὅτι δὲ δοθείσης τῆς τοῦ ἀγα-
θοῦ δαίμονος κράσεως ἔθος ἦν βαστάζεσθαι τὰς τρα-
πέζας ἔδειξε διὰ τῆς αὑτοῦ ἀσεβείας ὁ Σικελιώτης
Διονύσιος. τῷ γὰρ Ἀσκληπιῷ ἐν ταῖς Συρακούσαις
ἀνακειμένης τραπέζης χρυσῆς, προπιὼν αὐτῷ ἄκρα-
τον ἀγαθοῦ δαίμονος ἐκέλευσε βασταχθῆναι αὖ τὴν
τράπεζαν. παρὰ δὲ τοῖς Ἕλλησιν οἱ θύοντες τῷ ἡλίῳ,
ὥς φησι Φύλαρχος ἐν τῇ δωδεκάτῃ τῶν ἱστοριῶν, f
μέλι σπένδουσιν, οἶνον οὐ φέροντες τοῖς βωμοῖς, δεῖν
λέγοντες τὸν τὰ ὅλα συνέχοντα καὶ διακρατοῦντα
θεὸν καὶ ἀεὶ περιπολεύοντα τὸν κόσμον ἀλλότριον
εἶναι μέθης.

49. ἐμέμνηντο δὲ οἱ πολλοὶ καὶ τῶν ἀττικῶν ἐκεί-
νων σκολίων· ἅπερ καὶ αὐτὰ ἄξιόν ἐστί σοι ἀπομνη-
μονεῦσαι, διά τε τὴν ἀρχαιότητα καὶ ἀφέλειαν τῶν
ποιησάντων καὶ τῶν ἐπαινουμένων ἐπὶ τῇ ἰδέᾳ ταύτῃ

τῆς ποιητικῆς, Ἀλκαίου τε καὶ Ἀνακρέοντος, ὡς Ἀρι-
694 στοφάνης παρίστησιν ἐν Δαιταλεῦσι λέγων οὕτως

ᾆσον δή μοι σκόλιόν τι λαβὼν Ἀλκαίου κἀνακρέ-
οντος.

καὶ Πράξιλλα δ' ἡ Σικυωνία ἐθαυμάζετο ἐπὶ τῇ τῶν
σκολίων ποιήσει. σκόλια δὲ καλοῦνται οὐ κατὰ τὸν
τῆς μελοποιίας τρόπον ὅτι σκολιὸς ἦν· λέγουσι γὰρ
τὰ ἐν ταῖς ἀνειμέναις εἶναι σκολιά. ἀλλὰ τριῶν γε-
νῶν ὄντων, ὥς φησιν Ἀρτέμων ὁ Κασανδρεὺς ἐν
δευτέρῳ βιβλίων χρήσεως, ἐν οἷς τὰ περὶ τὰς συνου-
σίας ἦν ᾀδόμενα, ὧν τὸ μὲν πρῶτον ἦν ὃ δὴ πάντας
ᾄδειν νόμος ἦν, τὸ δὲ δεύτερον ὃ δὴ πάντες μὲν ᾖδον,
b οὐ μὴν ἀλλά γε κατά τινα περίοδον ἐξ ὑποδοχῆς, τρί-
τον δὲ καὶ τὴν ἐπὶ πᾶσι τάξιν ἔχον, οὗ μετεῖχον
οὐκέτι πάντες, ἀλλ' οἱ συνετοὶ δοκοῦντες εἶναι μόνοι,
καὶ κατὰ τόπον τινὰ εἰ τύχοιεν ὄντες· διόπερ ὡς ἀτα-
ξίαν τινὰ μόνον παρὰ τἆλλα ἔχον τὸ μήθ' ἅμα μήθ'
ἑξῆς γινόμενον, ἀλλ' ὅπου ἔτυχεν εἶναι, σκόλιον
ἐκλήθη. τὸ δὲ τοιοῦτον ᾔδετο ὁπότε τὰ κοινὰ καὶ πᾶ-
σιν ἀναγκαῖα τέλος λάβοι· ταῦτα γὰρ ἤδη τῶν σοφῶν
ἕκαστον ᾠδήν τινα καλὴν εἰς μέσον ἠξίουν προσφέ-
c ρειν. καλὴν δὲ ταύτην ἐνόμιζον τὴν παραίνεσίν τέ
τινα καὶ γνώμην ἔχειν δοκοῦσαν χρησίμην τε εἰς τὸν
βίον.'

50. τῶν οὖν δειπνοσοφιστῶν ὃ μέν τις ἔλεγε τῶν σκολίων τόδε, ὃ δέ τις τόδε. πάντα δ' ἦν τὰ λεχθέντα ταῦτα

α'

Παλλὰς τριτογένει' ἄνασσ' Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας
ἄτερ ἀλγέων καὶ στάσεων
καὶ θανάτων ἀώρων σύ τε καὶ πατήρ.

β'

πλούτου μητέρ' ὀλυμπίαν ἀείδω
Δήμητρα στεφανηφόροις ἐν ὥραις,
σέ τε παῖ Διὸς Περσεφόνη.
χαίρετον, εὖ δὲ τήνδ' ἀμφέπετον πόλιν.

γ'

ἐν Δήλῳ ποτ' ἔτικτε τέκνα Λατώ, d
Φοῖβον χρυσοκόμαν ἄνακτ' Ἀπόλλω
ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ' ἔχει κράτος.

δ'

ὦ Πὰν Ἀρκαδίας μέδων κλεεννᾶς,
ὀρχηστὰ βρομίαις ὀπαδὲ νύμφαις,
γελάσειας ὦ Πὰν ἐπ' ἐμαῖς
εὐφροσύναισι, ταῖσδ' ἀοιδαῖς κεχαρημένος.

ε'

ἐνικήσαμεν ὡς ἐβουλόμεσθα,
καὶ νίκην ἔδοσαν θεοὶ φέροντες
παρὰ Πανδρόσου ὡς φίλην Ἀθηνᾶν.

ϛ'

εἴθ' ἐξῆν ὁποῖός τις ἦν ἕκαστος
τὸ στῆθος διελόντ' ἔπειτα τὸν νοῦν e
ἐσιδόντα, κλείσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

ζ'

ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ καλὸν φυὰν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

ᾀσθέντος δὲ τούτου καὶ πάντων ἡσθέντων ἐπ' αὐτῷ καὶ μνημονευσάντων ὅτι καὶ ὁ καλὸς Πλάτων αὐτοῦ μέμνηται ὡς ἄριστα εἰρημένου, ὁ Μυρτίλος ἔφη Ἀνα-

ξανδρίδην αὐτὸ διακεχλευακέναι τὸν κωμῳδιοποιὸν ἐν Θησαυρῷ λέγοντα οὕτως

f ὁ τὸ σκόλιον εὑρὼν ἐκεῖνος, ὅστις ἦν,
τὸ μὲν ὑγιαίνειν πρῶτον ὡς ἄριστον ὂν
ὠνόμασεν ὀρθῶς· δεύτερον δ᾽ εἶναι καλὸν
τρίτον δὲ πλουτεῖν, τοῦθ᾽, ὁρᾷς, ἐμαίνετο.
μετὰ τὴν ὑγίειαν γὰρ τὸ πλουτεῖν διαφέρει·
καλὸς δὲ πεινῶν ἐστὶν αἰσχρὸν θηρίον.

695 ἑξῆς δ᾽ ἐλέχθη καὶ τάδε

η´

. . . ἐκ γῆς χρὴ κατιδεῖν πλόον,
εἴ τις δύναιτο καὶ παλάμην ἔχοι·
ἐπεὶ δέ κ᾽ ἐν πόντῳ γένηται,
τῷ παρεόντι τρέχειν ἀνάγκη.

θ´

ὁ καρκίνος ὧδ᾽ ἔφα τᾷ χαλᾷ τὸν ὄφιν λαβών,
εὐθὺν χρὴ τὸν ἑταῖρον εἶμεν καὶ μὴ σκολιὰ φρονεῖν.

ι´

ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτε τὸν τύραννον κανέτην
b ἰσονόμους τ᾽ Ἀθήνας ἐποιησάτην.

ια´

φίλταθ᾽ Ἁρμόδι᾽, οὔ τί που τέθνηκας·
νήσοις δ᾽ ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεύς,
Τυδεΐδην τέ φασιν ἐσθλὸν Διομήδεα.

ιβ´

ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτ᾽ Ἀθηναίης ἐν θυσίαις

ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

ιγʹ

ἀεὶ σφῷν κλέος ἔσσεται κατ' αἶαν,
φίλταθ' Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτι τὸν τύραννον κανέτην
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

ιδʹ

Ἀδμήτου λόγον ὦ 'ταῖρε μαθὼν τοὺς ἀγαθοὺς φίλει, c
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις.

ιεʹ

παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσί σε
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

ιϛʹ

τὸν Τελαμῶνα πρῶτον, Αἴαντα δὲ δεύτερον
ἐς Τροΐαν λέγουσιν ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

ιζʹ

εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φοροῖεν Διονύσιον ἐς χορόν.

ιηʹ

εἴθ' ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον,
καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον. d

ιθʹ

σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει,
σύν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει.

κʹ

ὑπὸ παντὶ λίθῳ σκορπίος ὦ 'ταῖρ' ὑποδύεται.
φράζευ μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

κα'

ἁ ὗς τὰν βάλανον τὰν μὲν ἔχει τὰν δ' ἔραται λαβεῖν·
e κἀγὼ παῖδα καλὴν τὴν μὲν ἔχω τὴν δ' ἔραμαι λαβεῖν.

κβ'

πόρνη καὶ βαλανεὺς τωυτὸν ἔχουσ' ἐμπεδέως ἔθος·
ἐν ταὐτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.

κγ'

ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ' ἐπιλήθου,
ἦ χρὴ τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

κδ'

αἰαῖ Λειψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν οἵων πατέρων ἔσαν.

κε'

f ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλαν ἔχει
τιμὰν ἔν τε βροτοῖς ἔν τε θεοῖσιν κατ' ἐμὸν νόον.

κϛ'

σκόλιον δέ φασί τινες καὶ τὸ ὑπὸ Ὑβρίου τοῦ Κρητὸς ποιηθέν. ἔχει δ' οὕτως

ἔστι μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, πρόβλημα χρωτός.
696 τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλω·
τούτῳ δέσποτα μνωίας κέκλημαι.
τοὶ δὲ μὴ τολμῶντ' ἔχειν δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, πρόβλημα χρωτός,
πάντες γόνυ πεπτηῶτες ἀμὸν
. . . κυνεῦντί τε δεσπόταν

καὶ μέγαν βασιλῆα φωνέοντες.

51. τούτων λεχθέντων ὁ Δημόκριτος ἔφη, ἀλλὰ μὴν καὶ τὸ ὑπὸ τοῦ πολυμαθεστάτου γραφὲν Ἀριστοτέλους εἰς Ἑρμείαν τὸν Ἀταρνέα οὐ παιάν ἐστιν, ὡς ὁ τὴν τῆς ἀσεβείας κατὰ τοῦ φιλοσόφου γραφὴν ἀπενεγκάμενος Δημόφιλος, εἰς αἰδῶ τε παρασκευασθεὶς b ὑπ᾽ Εὐρυμέδοντος, ὡς ἀσεβοῦντος καὶ ᾄδοντος ἐν τοῖς συσσιτίοις ὁσημέραι εἰς τὸν Ἑρμείαν παιᾶνα. ὅτι δὲ παιᾶνος οὐδεμίαν ἔμφασιν παρέχει τὸ ᾆσμα, ἀλλὰ τῶν σκολίων ἕν τι καὶ αὐτὸ εἶδός ἐστιν ἐξ αὐτῆς τῆς λέξεως φανερὸν ὑμῖν ποιήσω.

ἀρετὰ πολύμοχθε γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ,
σᾶς πέρι παρθένε μορφᾶς
καὶ θανεῖν ζαλωτὸς ἐν Ἑλλάδι πότμος c
καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας·
τοῖον ἐπὶ φρένα βάλλεις . . .
καρπόν τ᾽ ἀθάνατον χρυσοῦ τε κρείσσω
καὶ γονέων μαλακαυγήτοιό θ᾽ ὕπνου.
σεῦ δ᾽ ἕνεχ᾽ οὐκ Διὸς Ἡρακλέης Λήδας τε κοῦροι
πόλλ᾽ ἀνέτλασαν ἔργοις
σὰν ἀγρεύοντες δύναμιν.
σοῖς δὲ πόθοις Ἀχιλεὺς Αἴας τ᾽ Ἀΐδαο δόμους ἦλθον. d
σᾶς δ᾽ ἕνεκεν φιλίου μορφᾶς καὶ Ἀταρνέος
ἔντροφος ἀελίου χήρωσεν αὐγάς.
τοιγὰρ ἀοίδιμος ἔργοις,
ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι
Μναμοσύνας θύγατρες, Διὸς ξενίου σέβας
αὔξουσαι φιλίας τε γέρας βεβαίου.

52. ἐγὼ μὲν οὐκ οἶδα εἴ τίς τι κατιδεῖν ἐν τούτοις

e δύναται παιανικὸν ἰδίωμα, σαφῶς ὁμολογοῦντος τοῦ
γεγραφότος τετελευτηκέναι τὸν Ἑρμείαν δι' ὧν εἴ-
ρηκε 'σᾶς γὰρ φιλίου μορφᾶς Ἀταρνέος ἔντροφος
ἠελίου χήρωσεν αὐγάς.' οὐκ ἔχει δ' οὐδὲ τὸ παιανι-
κὸν ἐπίρρημα, καθάπερ ὁ εἰς Λύσανδρον τὸν Σπαρ-
τιάτην γραφεὶς ὄντως παιάν, ὅν φησι Δοῦρις ἐν τοῖς
Σαμίων ἐπιγραφομένοις ὥροις ᾄδεσθαι ἐν Σάμῳ.
παιὰν δ' ἐστὶ καὶ ὁ εἰς Κρατερὸν τὸν Μακεδόνα γρα-
φείς, ὃν ἐτεκτήνατο Ἀλεξῖνος ὁ διαλεκτικός, ὥς φησιν
f Ἕρμιππος ὁ καλλιμάχειος ἐν τῷ πρώτῳ περὶ Ἀριστο-
τέλους. ᾄδεται δὲ καὶ οὗτος ἐν Δελφοῖς, λυρίζοντός
γέ τινος παιδός. καὶ ὁ εἰς Ἀγήμονα δὲ τὸν Κορίνθιον,
Ἀλκυόνης πατέρα, ὃν ᾄδουσι Κορίνθιοι, ἔχει τὸ
παιανικὸν ἐπίφθεγμα. παρέθετο δὲ αὐτὸν Πολέμων
ὁ περιηγητὴς ἐν τῇ πρὸς Ἀράνθιον ἐπιστολῇ. καὶ ὁ
εἰς Πτολεμαῖον δὲ τὸν πρῶτον Αἰγύπτου βασιλεύ-
σαντα παιάν ἐστιν, ὃν ᾄδουσι Ῥόδιοι· ἔχει γὰρ τὸ ἰὴ
697 παιὰν ἐπίφθεγμα, ὥς φησι Γόργων ἐν τῷ περὶ τῶν
ἐν Ῥόδῳ θυσιῶν. ἐπ' Ἀντιγόνῳ δὲ καὶ Δημητρίῳ
φησὶ Φιλόχορος Ἀθηναίους ᾄδειν παιᾶνας τοὺς πε-
ποιημένους ὑπὸ Ἑρμοκλέους τοῦ Κυζικηνοῦ, ἐφαμίλ-
λων γενομένων τῶν παιᾶνας ποιησάντων πολλῶν καὶ
τοῦ Ἑρμοκλέους προκριθέντος. ἀλλὰ μὴν καὶ αὐτὸς
Ἀριστοτέλης ἐν τῇ ἀπολογίᾳ τῆς ἀσεβείας, εἰ μὴ
κατέψευσται ὁ λόγος, φησίν 'οὐ γὰρ ἄν ποτε Ἑρμείᾳ
θύειν ὡς ἀθανάτῳ προαιρούμενος ὡς θνητῷ μνῆμα
b κατεσκεύαζον, καὶ ἀθανατίζειν τὴν φύσιν βουλόμε-
νος ἐπιταφίοις ἂν τιμαῖς ἐκόσμησα.'

53. τοιαῦτα λέγοντος τοῦ Δημοκρίτου ὁ Κύνουλ-
κος ἔφη 'τί μ' ἀνέμνασας κείνων κυκλίων;' κατὰ τὸν
σὸν Φίλωνα, δέον μηδὲν τῶν σπουδῆς ἀξίων λέγειν
τι τοῦ γάστρωνος παρόντος Οὐλπιανοῦ. οὗτος γὰρ

τὰς καπυρωτέρας ᾠδὰς ἀσπάζεται μᾶλλον τῶν ἐσπουδασμένων· οἷαί εἰσιν αἱ λοκρικαὶ καλούμεναι, μοιχικαί τινες τὴν φύσιν ὑπάρχουσαι, ὡς καὶ ἥδε

ὢ τί πάσχεις; μὴ προδῷς ἄμ', ἱκετεύω.
πρὶν καὶ μολὲν κεῖνον, ἀνίστω· c
μὴ κακὸν μέγα ποιήσῃ σὲ κἀμὲ τὰν δειλάκραν.
ἁμέρα καὶ δή. τὸ φῶς διὰ τᾶς θυρίδος οὐκ ἐσορῇς;

τοιούτων γὰρ ᾀσμάτων αὐτοῦ πᾶσα πλήρης ἡ Φοινίκη, ἐν ᾗ καὶ αὐτὸς περιῄει καλαμίζων μετὰ τῶν τοὺς κολάβρους καλουμένους συντιθέντων. εἴρηται γάρ, ὦ καλὲ Οὐλπιανέ, τοὔνομα. καὶ ὅ γε Σκήψιος Δημήτριος ἐν τῷ δεκάτῳ τοῦ τρωικοῦ διακόσμου φησὶν οὕτως 'Κτησιφῶν ὁ Ἀθηναῖος ποιητὴς τῶν καλουμένων κολάβρων, ὃν καὶ ὁ πρῶτος μετὰ Φιλέταιρον ἄρξας Περγάμου Ἄτταλος δικαστὴν καθεστάκει βασι- d λικῶν τῶν περὶ τὴν Αἰολίδα.' ὁ δὲ αὐτὸς οὗτος συγγραφεὺς κἀν τῷ ἐννεακαιδεκάτῳ τῆς αὐτῆς πραγματείας Μνησιπτολέμου φησί ποτε τοῦ ἱστοριογράφου, τοῦ παρὰ Ἀντιόχῳ τῷ προσαγορευθέντι μεγάλῳ πλεῖστον ἰσχύσαντος, υἱὸν γενέσθαι Σέλευκον τὸν τῶν ἱλαρῶν ᾀσμάτων ποιητήν· οὗπερ συνεχῶς ᾄδειν εἰώθασι

κἀγὼ παιδοφιλήσω· πολύ μοι κάλλιον ἢ γαμεῖν.
παῖς μὲν γὰρ παρεὼν κἠν πολέμῳ μᾶλλον ἐπωφελεῖ. e

54. καὶ μετὰ ταῦτα ἀποβλέψας εἰς αὐτὸν ἔφη, ἀλλ' ἐπειδή μοι ὀργίζῃ, ἔρχομαί σοι λέξων τὸν συρβηνέων χορὸν ὅστις ἐστί. καὶ ὁ Οὐλπιανός, οἴει γάρ, ἔφη, κάθαρμα, θυμοῦσθαί μ' ἐφ' οἷς εἴρηκας ἢ κἂν ὀλίγον σου πεφροντικέναι, κύον ἀδδεές; ἀλλ' ἐπεὶ διδάσκειν μέ τι ἐπαγγέλλῃ, σπονδάς σοι ποιοῦμαι οὐ

τριακοντούτιδας, ἀλλ' ἑκατοντούτιδας. σὺ δὲ μόνον δίδασκε τίς ὁ συρβηνέων χορός. καὶ ὅς, Κλέαρχος f ὦ λῷστε ἐν δευτέρῳ περὶ παιδείας οὑτωσί φησι 'λείπεταί τις ὁ συρβηνέων χορός, ὧν ἕκαστον τὸ δοκοῦν ἑαυτῷ κατᾷσαι δεῖ, προσέχων οὐδὲν τῷ προκαθημένῳ καὶ διδάσκοντι τὸν χορόν, ἀλλ' αὐτὸς πολὺ τούτων ἀτακτότερός ἐστι θεατής. καὶ κατὰ τὸν παρῳδὸν Μάτρωνα

οἳ μὲν γὰρ δὴ πάντες ὅσοι πάρος ἦσαν ἄριστοι,
Εὔβοιός τε καὶ Ἑρμογένης δῖοί τε Φίλιπποι,
οἳ μὲν δὴ τεθνᾶσι καὶ εἰν Ἀίδαο δόμοισιν.
698 ἔστι δέ τις Κλεόνικος, ὃν ἀθάνατον λάχε γῆρας,
οὔτε ποιητάων ἀδαήμων οὔτε θεάτρων·
ᾧ καὶ τεθνειῶτι λαλεῖν πόρε Φερσεφόνεια.'

σὺ δὲ καὶ ζῶν, καλὲ Οὐλπιανέ, πάντα μὲν ζητεῖς, λέγεις δὲ οὐδὲ ἕν. καὶ ὅς, τίς ἡδέως, ἔφη, . . . τῶν ἐπῶν, ὦ καλέ μου ἑταῖρε, ἕως ἔτι ἐμμένομεν ταῖς σπονδαῖς.

55. καὶ ὁ Κύνουλκος, πολλοί τινες παρῳδιῶν ποιηταὶ γεγόνασιν, ὦ ἑταῖρε, ἐνδοξότατος δ' ἦν Εὔβοιος ὁ Πάριος γενόμενος τοῖς χρόνοις κατὰ Φίλιππον. b οὗτός ἐστιν ὁ καὶ Ἀθηναίοις λοιδορησάμενος, καὶ σῴζεται αὐτοῦ τῶν παρῳδιῶν βιβλία τέσσαρα. μνημονεύει δ' αὐτοῦ Τίμων ἐν τῷ πρώτῳ τῶν σίλλων. Πολέμων δ' ἐν τῷ δωδεκάτῳ τῶν πρὸς Τίμαιον περὶ τῶν τὰς παρῳδίας γεγραφότων ἱστορῶν τάδε γράφει 'καὶ τὸν Βοιωτὸν δὲ καὶ τὸν Εὔβοιον τοὺς τὰς παρῳδίας γράψαντας λογίους ἂν φήσαιμι διὰ τὸ παίζειν ἀμφιδεξίως καὶ τῶν προγενεστέρων ποιητῶν ὑπερέχειν ἐπιγεγονότας. εὑρετὴν μὲν οὖν τοῦ γένους Ἱππώνακτα φατέον τὸν ἰαμβοποιόν. λέγει γὰρ οὗτος ἐν τόνοις ἑξαμέτροις

Μοῦσά μοι Εὐρυμεδοντιάδεα, τὴν ποντοχάρυβδιν,
τὴν ἐγγαστριμάχαιραν, ὃς ἐσθίει οὐ κατὰ κόσμον,
ἔννεφ᾽, ὅπως ψηφῖδι κακὸς κακὸν οἶτον ὄληται
βουλῇ δημοσίῃ παρὰ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο.

κέχρηται δὲ καὶ ὁ Ἐπίχαρμος ὁ Συρακόσιος ἔν τινι τῶν δραμάτων ἐπ᾽ ὀλίγον, καὶ Κρατῖνος ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητὴς ἐν Εὐνείδαις, καὶ τῶν κατ᾽ αὐτὸν Ἡγήμων ὁ Θάσιος, ὃν ἐκάλουν Φακῆν. λέγει γὰρ οὕτως

ἐς δὲ Θάσον μ᾽ ἐλθόντα μετεωρίζοντες ἔβαλλον d
πολλοῖσι σπελέθοισι, καὶ ὧδέ τις εἶπε παραστάς
'ὦ πάντων ἀνδρῶν βδελυρώτατε, τίς σ᾽ ἀνέπεισεν
ἐς καλὴν κρηπῖδα ποσὶν τοιοῖσδ᾽ ἀναβῆναι;'
τοῖσι δ᾽ ἐγὼ πᾶσι σμικρὸν μετὰ τοῦτ᾽ ἔπος εἶπον,
'λῆμ᾽ ἀνέπεισε γέροντα καὶ οὐκ ἐθέλοντ᾽ ἀναβῆναι
καὶ σπάνις, ἣ πολλοὺς Θασίων εἰς ὁλκάδα βάλλει
οἰκουρῶν βδελυρῶν, ὀλλύντων τ᾽ ὀλλυμένων τε e
ἀνδρῶν, οἳ νῦν κεῖθι κακῶς κακὰ ῥαψῳδοῦσιν·
οἷς καὶ ἐγὼ μετὰ τοῖσι τὰ χρηίζων ἐπίθησα.
αὖθις δ᾽ οὐκ ἐπὶ κέρδος ἀποίσομαι, εἰς Θασίους δὲ
μηδὲν πημαίνων κλυτὸν ἄργυρον ἐγγυαλίξω,
μή τίς μοι κατὰ οἶκον Ἀχαϊάδων νεμεσήσῃ,
πεσσομένης ἀλόχου τὸν ἀχαϊκὸν ἄρτον ἐν οἴκοις, f
καί ποτέ τις εἴπῃ σμικρὸν τυροῦντ᾽ ἐσιδοῦσα,
ὡς Φιλίων ὁρμὴν παρ᾽ Ἀθηναίοισιν ἀείσας
πεντήκοντ᾽ ἔλαβε δραχμάς, σὺ δὲ μικρὸν ἐπέψω.'
ταῦτά μοι ὁρμαίνοντι παρίστατο Παλλὰς Ἀθήνη
χρυσῆν ῥάβδον ἔχουσα, καὶ ἤλασεν εἰπέ τε φωνῇ
'δεινὰ παθοῦσα Φακῆ βδελυρὴ χώρει 's τὸν ἀγῶνα.' 699

καὶ τότε δὴ θάρσησα καὶ ἤειδον πολὺ μᾶλλον.

56. πεποίηκε δὲ παρῳδίας καὶ Ἕρμιππος ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής. τούτων δὲ πρῶτος εἰσῆλθεν εἰς τοὺς ἀγῶνας τοὺς θυμελικοὺς Ἡγήμων καὶ παρ' Ἀθηναίοις ἐνίκησεν ἄλλαις τε παρῳδίαις καὶ τῇ Γιγαντομαχίᾳ. γέγραφε δὲ καὶ κωμῳδίαν εἰς τὸν ἀρχαῖον τρόπον, ἣν ἐπιγράφουσι Φιλίνην. ὁ δὲ Εὔβοιος
b πολλὰ μὲν εἴρηκεν ἐν τοῖς ποιήμασι χαρίεντα. περὶ μὲν τῆς τῶν βαλανέων μάχης

βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.

περὶ δὲ τοῦ λοιδορουμένου κουρέως τῷ κεραμεῖ τῆς γυναικὸς χάριν

μήτε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο κουρεῦ,
μήτε σὺ Πηλείδη.

ὅτι δὲ ἦν τις περὶ αὐτοὺς δόξα παρὰ τοῖς Σικελιώταις Ἀλέξανδρος ὁ Αἰτωλὸς ὁ τραγῳδιοδιδάσκαλος ποιήσας ἐλεγεῖον τρόπον τοῦτον δηλοῖ

c ὣν Ἀγαθοκλῆος λάσιαι φρένες ἤλασαν ἔξω
πατρίδος, ἀρχαίων ἦν ὅδ' ἀνὴρ προγόνων,
εἰδὼς ἐκ νεότητος ἀεὶ ξείνοισιν ὁμιλεῖν
ξεῖνος· Μιμνέρμου δ' εἰς ἔπος ἄκρον ἰών,
παιδομανεῖ σὺν ἔρωτι πότην ἴσον. ἔγραφε δ' ὡνὴρ
εὖ παρ' ὁμηρείην ἀγλαΐην ἐπέων
πισύγγους ἢ φῶρας ἀναιδέας ἤ τινα χλούνην,
φλύων ἀνθηρῇ σὺν κακοδαιμονίῃ·
τοῖα Συρηκοσίοις καὶ ἔχων χάριν. ὃς δὲ Βοιωτοῦ
ἔκλυεν, Εὐβοίῳ τέρψεται οὐδ' ὀλίγον.'

d 57. πολλῶν οὖν ἑκάστοτε τοιούτων λεγομένων, ἐπεί ποτε ἑσπέρα κατελάμβανεν ἡμᾶς, ὃ μέν τις ἔλεγε, παῖ λύχνειον, ὃ δὲ λυχνέα, ὃ δὲ λοφνίαν, οὕτω καλεῖσθαι φάσκων τὴν ἐκ τοῦ φλοιοῦ λαμπάδα, ὃ δὲ πανόν, ἄλλος δὲ φανόν, ὃ δὲ λυχνοῦχον, ὃ δὲ λύχνον,

καὶ δίμυξον δὲ λύχνον ἕτερος, ἄλλος δὲ ἐλάνην, ὃ δέ τις ἐλάνας, τὰς λαμπάδας οὕτω φάσκων καλεῖσθαι παρὰ τὴν ἕλην· οὕτω δ' εἰπεῖν Νεάνθην ἐν πρώτῃ τῶν περὶ Ἄτταλον ἱστοριῶν· καὶ ἄλλος ὅ τι δή ποτε, ὡς τάραχον γίνεσθαι οὐ τὸν τυχόντα τῶν ἐπὶ τούτοις ἰστέων παρὰ πάντων λεγομένων. Σειληνὸν μὲν γάρ e
τις τὸν γλωσσογράφον ἔφασκεν Ἀθηναίους λέγειν τὰς λαμπάδας φανούς. Τιμαχίδας δὲ ὁ Ῥόδιος δέλετρον τὸν φανὸν καλεῖσθαι, οἷόν φησιν οἱ νυκτερευόμενοι τῶν νέων ἔχουσιν, οὓς οὗτοι ἐλάνας καλοῦσιν. Ἀμερίας δὲ γράβιον τὸν φανόν. Σέλευκος δὲ οὕτως ἐξηγεῖται ταύτην τὴν λέξιν, γράβιον ἐστὶ τὸ πρίνινον ἢ δρυΐνον ξύλον, ὅπερ ἐθλασμένον καὶ κατεσχισμένον ἐξάπτεσθαι καὶ φαίνειν τοῖς ὁδοιποροῦσιν. Θεοδωρίδας γοῦν ὁ Συρακόσιος, ἐν Κενταύροις διθυράμβῳ f
φησί 'πίσσα δ' ἀπὸ γραβίων ἔσταξεν.' μνημονεύει δὲ γραβίων κο . . . ἐν Φοινίσσαις.

58. ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι φανοὶ ὠνομάζοντο Ἀριστοφάνης ἐν Αἰολοσίκωνι παρίστησι

καὶ διαστίλβονθ' ὁρῶμεν
ὥσπερ ἐν καινῷ λυχνούχῳ
πάντα τῆς ἐξωμίδος.

ἐν δὲ τῷ δευτέρῳ Νιόβῳ προειπὼν λύχνον

οἴμοι κακοδαίμων [φησὶ] ὁ λύχνος ἡμῖν οἴχεται,

εἶτ' ἐπιφέρει

καὶ πῶς ὑπερβὰς τὸν λυχνοῦχον ἔλαθέ σε;

ἐν δὲ τοῖς Δράμασι καὶ λυχνίδιον αὐτὸν καλεῖ διὰ τούτων

ἀλλ' ὥσπερ λύχνος
ὁμοιότατα καθεύδετ' ἐπὶ τοῦ λυχνιδίου.

Πλάτων δ' ἐν Νυκτὶ μακρᾷ

ἕξουσιν οἱ πομπεῖς λυχνούχους δηλαδή.

Φερεκράτης Δουλοδιδασκάλῳ

ἄνυσόν ποτ᾽ ἐξελθών, σκότος γὰρ γίγνεται,
καὶ τὸν λυχνοῦχον ἔκφερ᾽ ἐνθεὶς τὸν λύχνον.

Ἄλεξις δ᾽ ἐν Κηρυττομένῳ

ὥστ᾽ ἐξελὼν ἐκ τοῦ λυχνούχου τὸν λύχνον
μικροῦ κατακαύσας ἔλαθ᾽ ἑαυτόν, ὑπὸ μάλης
τῇ γαστρὶ μᾶλλον τοῦ δέοντος προσαγαγών.

ευμηλης δ᾽ ἐν Σφαττομένῳ . . . εἰπὼν ηγουμενην
. . . . οσθ ιδων . . . . . . ενιδι . . . . οει . . . .
699 φι . . . της δ᾽ ἐν Τριόδοντι ἢ Ῥωποπώλῃ προειπών
f λαβὲ τριόδοντα καὶ λυχνοῦχον

ἐπιφέρει

ἐγὼ δὲ δεξιᾷ γε τόνδ᾽ ἔχω τινά,
σιδηρότευκτον ἐναλίων θηρῶν βέλος,
κερατίνου τε φωσφόρου λύχνου σέλας.

Ἄλεξις Μίδωνι

700 ὁ πρῶτος εὑρὼν μετὰ λυχνούχου περιπατεῖν
τῆς νυκτὸς ἦν τις κηδεμὼν τῶν δακτύλων.

59. ἐν δὲ Θεοφορήτῳ ὁ αὐτὸς Ἄλεξις

οἶμαί γ᾽ ἐπιτιμᾶν τῶν ἀπαντώντων τινὰς
ἡμῖν, ὅτι τηνικαῦτα μεθύων περιπατῶ.
ποῖος γάρ ἐστι φανός, ὢ πρὸς τῶν θεῶν,
τοιοῦτος οἷος ὁ γλυκύτατος ἥλιος;

Ἀναξανδρίδης δ᾽ ἐν Ὕβρει

οὐκοῦν λαβὼν τὸν φανὸν ἅψεις μοι λύχνον;

b ἄλλοι δ᾽ ἔφασκον φανὸν λέγεσθαι τὴν λαμπάδα, οἱ δὲ τὴν ἔκ τινων ξύλων τετμημένων δέσμην. Μένανδρος Ἀνεψιοῖς

ὁ φανός ἐστι μεστὸς ὕδατος οὑτοσί·
δεῖ τ᾽ οὐχὶ σείειν, ἀλλ᾽ ἀποσείειν αὐτόθεν.

Νικόστρατος ἐν Πατριώταις

ὁ κάπηλος γὰρ οὐκ τῶν γειτόνων,

ἄν τ' οἶνον ἄν τε φανὸν ἀποδῶταί τινι
ἄν τ' ὄξος, ἀπέπεμψ' ὁ κατάρατος δοὺς ὕδωρ.

Φιλιππίδης Συμπλεούσαις c

ὁ φανὸς ἡμῖν οὐκ ἔφαινεν οὐδὲ ἕν.
Β. ἔπειτα φυσᾶν δυστυχὴς οὐκ ἠδύνω;

60. Φερεκράτης δ' ἐν Κραπατάλοις τὴν νῦν λυχνίαν καλουμένην λύχνειον κέκληκε διὰ τούτων

τίς τῶν λυχνείων ἡ 'ργασία; Β. τυρρηνική.

ποικίλαι γὰρ ἦσαν αἱ παρὰ τοῖς Τυρρηνοῖς ἐργασίαι, φιλοτέχνων ὄντων τῶν Τυρρηνῶν. Ἀριστοφάνης δ' Ἱππεῦσι

τῶν δ' ἀκοντίων
συνδοῦντες ὀρθὰ τρία λυχνείῳ χρώμεθα.

Δίφιλος δ' ἐν Ἀγνοίᾳ

ἅψαντες λύχνον d
λυχνεῖον ἐζητοῦμεν.

Εὐφορίων δ' ἐν ἱστορικοῖς ὑπομνήμασι Διονύσιόν φησι τὸν νεώτερον Σικελίας τύραννον Ταραντίνοις εἰς τὸ πρυτανεῖον ἀναθεῖναι λυχνεῖον δυνάμενον καίειν τοσούτους λύχνους ὅσος ὁ τῶν ἡμερῶν ἐστιν ἀριθμὸς εἰς τὸν ἐνιαυτόν. Ἕρμιππος δ' ὁ κωμῳδιοποιὸς ἐν Ἰάμβοις τὸ στρατιωτικὸν λυχνεῖον σύνθετον οὕτως ὀνομάζει. ἐν δὲ Φορμοφόροις δράματι

τῇδ' ἐξιόντι δεξιᾷ ὦ λυχνίδιον.

πανὸς δ' ὀνομάζεται τὸ διακεκομμένον ξύλον καὶ συνδεδεμένον· τούτῳ δ' ἐχρῶντο λαμπάδι. Μένανδρος e Ἀνεψιοῖς

εἰσιὼν
πανὸν λύχνον λυχνοῦχον, ὅ τι πάρεστι φῶς
μόνον, πολὺ ποιεῖ.

Δίφιλος Στρατιώτῃ 'ἀλλ' ὁ πανὸς ὕδατός ἐστι μεστός.'

πρότερος δὲ τούτων Αἰσχύλος ἐν Ἀγαμέμνονι μέμνηται τοῦ πανοῦ. [καὶ Εὐριπίδης]

ἐν Ἴωνι· ἔλει
προημῶν κ [ξυλολυχνοῦ]
χον, οὗ μνη[μονεύει Ἄλεξις]
ἐν Εἰσοικιζ[ομένῳ]
ὁ δὲ ξυλο[λυχνοῦχος]
ὡς ἐβάδι
μετὰ χερσὶν
δε τῶν ἄλλων
εμενον ἐν
δεοι κατα
ὅπερ ετι

. . . .

61. ξυλολυχνούχου δὲ μέμνηται Ἄλεξις· καὶ τάχα τούτῳ ὅμοιόν ἐστι τὸ παρὰ Θεοπόμπῳ ὀβελισκολύ-
f χνιον. Φιλύλλιος δὲ τὰς λαμπάδας δᾷδας καλεῖ. οὐ παλαιὸν δ' εὕρημα λύχνος· φλογὶ δ' οἱ παλαιοὶ τῆς τε δᾳδὸς καὶ τῶν ἄλλων ξύλων ἐχρῶντο. 'κοιμίσαι λύχνον' Φρύνιχός φησι. [δίμυξον δὲ λύχνον εἴρηκε Φιλύλλιος·

καὶ λύχνον δίμυξον οἴ]σω καὶ θρυαλλίδ', ἢν δέῃ.

καὶ Πλάτων ἐν Νυκτὶ μακρᾷ

ἐνταῦθ' ἐπ' ἄκρων τῶν κροτάφων ἕξει λύχνον
δίμυξον.

μνημονεύει τοῦ διμύξου λύχνου καὶ Μεταγένης ἐν Φιλοθύτῃ καὶ Φιλωνίδης ἐν Κοθόρνοις. Κλείταρχος
701 δ' ἐν ταῖς Γλώσσαις λοφνίδα φησὶ καλεῖν Ῥοδίους τὴν ἐκ τοῦ φλοιοῦ τῆς ἀμπέλου λαμπάδα. Ὅμηρος δὲ τὰς λαμπάδας δετὰς ὀνομάζει

καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ.

ἑλάνη δὲ ἡ λαμπὰς καλεῖται, ὡς Ἀμερίας φησί. Νί-

*κανδρος δ᾽ ὁ Κολοφώνιος ἐλάνην τὴν τῶν καλάμων δέσμην. λύχνα δὲ οὐδετέρως εἴρηκεν Ἡρόδοτος ἐν δευτέρᾳ ἱστοριῶν. λυχνοκαυτίαν δὲ ἣν οἱ πολλοὶ λέγουσι λυχναψίαν Κηφισόδωρος ἐν Ὑί.* b

*καὶ ὁ Κύνουλκος ἀεί ποτε τῷ Οὐλπιανῷ ἀντικορυσσόμενος ἔφη, ἐμοὶ δέ, παῖ δωρόδειπνε, ἀσσαρίου κανδήλας πρίω, ἵνα κἀγὼ κατὰ τὸν καλὸν Ἀγάθωνα ἀναφωνήσω τάδε τὰ τοῦ ἡδίστου Ἀριστοφάνους*

> *ἐκφέρετε πεύκας κατ᾽ Ἀγάθωνα φωσφόρους.*

*καὶ ταῦτ᾽ εἰπών*

> *οὐρὰν ὑπίλας ὑπὸ λεοντόπουν βάσιν*

*ὑπεξῆλθε τοῦ συμποσίου ὑπνηλὸς κάρτα γενόμενος.*

72. *τῶν δὲ πολλῶν τὸ ἰὴ παιὼν ἐπιφθεγγομένων, ὁ Ποντιανὸς ἔφη, τὸ ἰὴ παιών, ἄνδρες φίλοι, μαθεῖν* c *βούλομαι εἴτε παροιμία ἐστὶν εἴτε ἐφύμνιον εἴτε τι ἄλλο. πρὸς ὃν ὁ Δημόκριτος ἔφη, Κλέαρχος ὁ Σολεὺς οὐδενὸς ὢν δεύτερος τῶν τοῦ σοφοῦ Ἀριστοτέλους μαθητῶν ἐν τῷ πρώτῳ περὶ παροιμιῶν τὴν Λητώ φησιν ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀνακομίζουσαν εἰς Δελφοὺς Ἀπόλλωνα καὶ Ἄρτεμιν γενέσθαι παρὰ τὸ τοῦ κληθέντος Πύθωνος σπήλαιον, καὶ φερομένου τοῦ Πύθωνος ἐπ᾽ αὐτοὺς ἡ Λητὼ τῶν παίδων τὸν ἕτερον ἐν ταῖς ἀγκάλαις ἔχουσα προσβᾶσα τῷ λίθῳ τῷ* d *νῦν ἔτι κειμένῳ ὑπὸ τῷ ποδὶ τῆς χαλκοῦ εἰργασμένης Λητοῦς, ὃ τῆς τότε πράξεως μίμημα γενόμενον ἀνάκειται παρὰ τὴν πλάτανον ἐν Δελφοῖς, εἶπεν, ἵε παῖ, (τυχεῖν δὲ τόξα μετὰ χεῖρας ἔχοντα τὸν Ἀπόλλωνα) τοῦτο δ᾽ ἐστὶν ὡς ἂν εἴποι τις, ἄφιε παῖ καὶ βάλε παῖ. διόπερ ἀπὸ τούτου λεχθῆναί φασι τὸ ἵε παῖ καὶ ἵε παιών. ἔνιοι δὲ παρεγκλίνοντές τε τὴν λέξιν καὶ ἐπὶ τοῖς δεινοῖς ἀλεξητήριόν τινα παροιμίαν λέγουσιν, ἰὴ παιών, καὶ οὐχὶ ἵε παῖ. πολλοὶ δὲ καὶ ἐπὶ τοῖς τέλος* e

ἔχουσιν ἐπιφθεγγόμενοι οἳ μὲν ἐν παροιμίᾳ φασὶν οὕτως τοῦτο δὴ τὸ λεγόμενον ἰὴ παιών, διὰ δὲ τὸ λίαν ἡμῖν εἶναι σύνηθες λανθάνον ὂν παροιμία, οἳ δέ τι τοιοῦτον λέγοντες οὐχ ὡς παροιμίαν. τὸ δὲ ὑφ᾽ Ἡρακλείδου τοῦ Ποντικοῦ λεχθὲν φανερῶς πέπλασται· ἐπὶ σπονδαῖς τοῦτο πρῶτον εἰς τρὶς εἰπεῖν τὸν θεὸν οὕτως, ἰὴ παιάν, ἰὴ παιών, ἰὴ παιάν, ἐκ ταύτης γὰρ τῆς πίστεως τὸ τρίμετρον καλούμενον ἀνατίθησι τῷ
f θεῷ, φάσκων τοῦ θεοῦ τοῦθ᾽ ἑκάτερον εἶναι τῶν μέτρων· ὅτι μακρῶν μὲν τῶν πρώτων δύο συλλαβῶν λεγομένων ἰὴ παιὰν ἡρῷον γίνεται, βραχέως δὲ λεχθεισῶν ἰαμβεῖον· διὰ δὲ τοῦτο δῆλον ὅτι καὶ τὸν ἴαμβον ἀναθετέον αὐτῷ. βραχειῶν γοῦν γινομένων, εἰ δύο τὰς ἁπασῶν τελευταίας συλλαβὰς εἰς μακρὰν ποιήσει τις, ὁ Ἱππώνακτος ἴαμβος ἔσται.

63. μετὰ ταῦτ᾽ ἤδη μελλόντων καὶ ἡμῶν ἀνίστασθαι ἐπεισῆλθον παῖδες φέροντες ὃ μέν τις θυμιατήριον ὃ δὲ . . ἔθος δὲ ἦν ἀναστᾶσι τοῦ δείπνου καὶ σπείσασι τὸ λοιπὸν τοῦ ἀκράτου τῷ διδόντι παιδὶ ἐκπιεῖν διδόναι.

702 ὅτι παιᾶνα εἰς Ὑγίειαν ἐποίησε τόνδε Ἀρίφρων ὁ Σικυώνιος

Ὑγίεια πρεσβίστα μακάρων, μετὰ σεῦ ναίοιμι
τὸ λειπόμενον
βιοτᾶς, σὺ δέ μοι πρόφρων σύνοικος εἴης.
εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων,
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς
ἢ πόθων,
οὓς κρυφίοις Ἀφροδίτας ἄρκυσιν θηρεύομεν,
b ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πό-
νων ἀμπνοὰ πέφανται,
μετὰ σεῖο, μάκαιρ᾽ Ὑγίεια,

τέθαλε πάντα καὶ λάμπει Χαρίτων ἔαρ·
σέθεν δὲ χωρὶς οὔ τις εὐδαίμων ἔφυ.

64. . . . οἴδασιν. Σώπατρος γὰρ ὁ φλυακογράφος ἐν τῷ ἐπιγραφομένῳ δράματι Φακῇ λέγει οὕτως

κρεανομοῦμαι καὶ τὸν ἐκ Τυρρηνίας
οἶνον συνόκτω λαμβάνειν ἐπίσταμαι.

ταῦτα, φίλτατε Τιμόκρατες, κατὰ τὸν Πλάτωνα, οὐ Σωκράτους νέου καὶ καλοῦ παίγνια ἀλλὰ τῶν δει- c
πνοσοφιστῶν σπουδάσματα. κατὰ γὰρ τὸν Χαλκοῦν Διονύσιον

τί κάλλιον ἀρχομένοισιν
ἢ καταπαυομένοις ἢ τὸ ποθεινότατον;

# SUMMARIA.

## A


Cap. 1. Δαιτυμόνων κατάλογος. P. marg. 1 a.
4. ἐγκώμιον τοῦ ἑστιάτορος. 2 b.
4. βιβλιοθῆκαι διαφόρων. 3 a.
5. δημοθοινία. 3 d.
5. βοῦς Ἐμπεδοκλέους. 3 e.
6. στιχίδια ηὐτρεπισμένα. 4 a.
7. Ἀρχεστράτου Γαστρονομία. 4 e.
8. δείπνων ἀναγραφεῖς. 5 a.
8. ὀψοφαγικά. 5 b.
9. Φιλοξένου καὶ Πιθύλλου τενθεία. 5 e.
12. Ἀπικίου τενθεία. 7 a.
12. Ἀριστοξένου θριδακίναι. 7 c.
13. Νικομήδους ἀφύαι. 7 d.
14. ἄκλητοι. 7 f.
14. ἀσύμβολοι. 8 b.
14. μονοφάγοι. 8 e.
15. ἡρώων τῶν καθ' Ὅμηρον δίαιτα. 8 e.
17. Πράμνειος. 10 a.
18. ἡρώων τῶν Ὁμήρου δίαιτα. 10 e.
19. τροφαὶ ἡρώων τῶν παρ' Ὁμήρῳ, καὶ τῶν μεταγενεστέρων. 11 b.
20. τράπεζαι παρακείμεναι. 11 f.
21. δαὶς ἐΐση Ὁμήρου. 12 c.
22. ἁλιεῖς Ὁμήρου. 13 a.
22. ἁλιευτικὰ συγγράμματα. 13 b.
22. Ὀππιανός. 13 c.
23. Ὁμηρικοῦ συμποσίου θεωρία. 13 d.
24. ἀοιδοὶ Ὁμήρου. 14 a.
25. σφαιριστική. 14 d.
Cap. 27. ὀρχησταὶ Ξενοφῶντος. P. marg. 15 e.
28. πάλιν θεωρία τῶν Ὁμηρικῶν συμποσίων. 16 a.
28. Φαιάκων τρυφή. 16 c.
29. μνηστήρων πεττεία τῶν παρ' Ὁμήρῳ. 16 e.
30. ποιηταὶ ἀνάγοντες τὰ καθ' αὑτοὺς εἰς τὰ Τρωϊκά. 17 c.
31. κατακλίνεσθαι ἐν συμποσίοις. 17 f.
31. αὐτοδιακονία. 18 b.
32. βαλανεῖα. 18 b.
32. ὀχευτικαὶ δυνάμεις. 18 d.
33. μύρα. 18 e.
33. στέφανος. 18 e.
34. βάναυσοι τιμώμενοι· ὡς αὐληταί, 19 b.
35. πλάνοι, 19 d.
35. θαυματοποιοί. 19 e.
36. Ῥώμη, ἐπιτομὴ τῆς οἰκουμένης. 20 b.
37. ὀρχήσεις. 20 d.
37. Πυλάδης. 20 e.
38. Θεοφράστου σχήματα διδάσκοντος. 21 a.
38. εὐρύθμως ἀμπέχεσθαι. 21 b.
39. ὄρχησις. 21 e.
41. Μουσεῖον. 22 d.
41. Διόνυσος ἰατρός. 22 e.
41. πίνειν. 22 f.
42. ἀναπίπτειν, ἀνακεῖσθαι, κατακεῖσθαι. 23 b.
43. πάσασθαι. 23 e.
44. ἡρώων Ὁμηρικῶν κυνηγεσία. 24 c.
44. λουτρά. 24 c.
45. ἀκρόδρυα. 24 f.

Cap. 46. ἥρωες Ὁμηρικοί, ἰχθῦς τε καὶ ὄρνιθας θηρεύοντες. P. marg. 25 b.
47. Οἶνος παλαιὸς καὶ διαφόρων χρωμάτων. 25 e.
47. Διόνυσος καταφεύγων εἰς θάλασσαν. 26 b.
48. οἶνοι Ἰταλικοί. 26 c.
49. ἑκάστης πόλεως ἰδιώματα. 27 d.
50. ἑκάστης ἰδιώματα χώρας. 28 a.
51. Οἶνοι. 28 d.
54. βασιλεὶς Περσῶν, πόλεις δωρούμενοι. 29 f.
55. οἶνος Πράμνιος, Ἰκάριος. 30 b.
56. οἶνος ἐκάνθιος. 30 e.
56. οἶνος Βίβλινος. 30 f.
57. τρίμμα. 31 e.
58. οἶνοι ἄλλοι τε καὶ ἀνθοσμίας. 32 a.
59. οἴνων ἰδιώματα. 32 c.
59. οἶνος τεθαλαττωμένος. 32 d.
59. πρὸς τοῖς ἄλλοις οἶνος Χῖος. 32 f.
60. οἶνος Μαρεώτης. 33 c.
60. οἶνος Ταινιώτης. 33 e.
60. οἶνος Αἰγύπτιος. 33 f.
60. Ἀστυδάμας. 34 a.
61. οἴνου εὕρεσις. 34 a.
61. οἶνος κρίθινος. 34 b.
62. κράμβη ἀμέθυστος. 34 c.

*B*

1. Περὶ Οἴνου. 35 a.
2. οἴνου φύσις. 35 c.
5. οἰκία τριήρης. 37 b.
6. Οἶνος καὶ ἀλήθεια. 37 e.
6. τρίποδες. 37 f.
7. Διόνυσος ὀρθός. 38 c.
7. ἄκρατον. 38 c.
7. Διὸς σωτῆρος ὄνομα. 38 e.
8. Νέκταρ, ἀμβροσία. 38 f.
9. Καυχήσεις. 39 d.
11. Κωμῳδίας εὕρεσις. 40 b.
11. ἐτυμολογία θοίνης, θαλείας, μέθης. 40 c.
Cap. 12. τέλος. P. marg. 40 d.
13. Ὕδατα. 40 f.
14. μετάκερας. 41 d.
15. Ὕδατα. 41 e.
18. ὕδωρ, σῶμα ποταμοῦ. 43 c.
19. ὑδροπόται. 43 f.
21. Ἰβήρων μικρολογία. 44 b.
22. Λασύρτας ἄποτος. 44 f.
23. Χοάσπεος βασιλικὸν ὕδωρ καὶ Νείλου. 45 b.
23. Μελάμπους εὗρε κρᾶσιν οἴνου. 45 d.
24. ὑδάτων χρῆσις. 45 e.
25. τίνα τῶν ὑδάτων ἄριστα. 46 b.
26. ὑδατώδη τρόφιμα. 46 d.
26. μέλιτος χρῆσις. 46 f.
28. μονοσιτῶν. 47 c.
28. νωγαλεύματα. 47 d.
29. ὀνομακλήτωρ. 47 e.
29. κλῖναι. 47 f.
30. ποικίλα στρώματα. 48 b.
31. στρῶται, καὶ Ἔντιμος ὁ Κρὴς παρὰ βασιλεῖ τῶν Περσῶν τιμώμενος. 48 f.
32. τρίποδες αἱ τράπεζαι. 49 a.
33. Δαμασκηνά, τὰ καὶ κοκκύμηλα η βράβιλα. 49 d.
34. κεράσια. 50 b.
35. χαμαικέρασα, μιμαίκυλα. 50 d.
35. κεράσια. 51 a.
36. συκάμινα. 51 b.
36. μόρα. 51 c.
37. ἐπιδημία ποδαγρική. 52 a.
38. κάρυα. 52 a.
39. ἀμυγδάλαι. 52 c.
39. πικρὰ ἀμύγδαλα νηφάλεα. 52 d.
40. ἀμυγδάλης τόνος. 52 f.
41. Ποντικὰ κάρυα. 53 b.
42. Ἡρακλεωτικά. 53 e.
42. Περσικὰ κάρυα. 53 e.
42 sq. καρύων διαφόρων ἀρωγὴ καὶ κακία. 53 e sq.
44. ἐρέβινθοι. 54 e.
45. θέρμοι. 55 c.
46. φάσηλοι. 56 a.
47. ἐλᾶαι. 56 b.

Cap. 48. ῥαφανίδες. P. marg. 56 d.
49. κῶνοι, ὀστρακίδες. 57 b.
50. ᾠά. 57 d.
50. πῶς Ἑλένη ἐξ ᾠοῦ. 57 f.
50. Μολιονίδαι. 57 f.
51. Πρόπωμα. 58 c.
52. μαλάχαι. 58 d.
52. ἄλιμος. 58 f.
53. κολοκύντη, σικύα. 58 f.
54. φιλοσόφων ζητήσεις χλευαζόμεναι. 59 d.
55. πρόπωμα. 60 a.
56. μύκαι. 60 b.
56. Κηφισόδοτος [Κηφισόδωρος] κατ' Ἀριστοτέλους βιβλία δ'. 60 d.
57. μύκητες θανατηφόροι. 60 e.
58. σία. 61 c.
59. μύκητες. 61 d.
60. ὕδνα. 62 a.
60. ὑδνόφυλλον. 62 d.
61. ἀκαλήφη. 62 d.
62. ἀσπάραγοι. 62 d.
62. ὅρμενος. 62 f.
63. κοχλίαι. 63 a.
64. βολβοί. 63 d.
68. κίχλαι. 64 f.
68. Ἐπικιχλίδες Ὁμήρου. 65 a.
69. συκαλίδες. 65 b.
70. σπίνοι. 65 c.
71. κόψιχοι, καὶ ὀρνίθια. 65 d.
72. ἐγκέφαλος. 65 f.
73. πέπερι. 66 d.
74. ἔλαιον. 66 f.
75. γάρος. 67 b.
76. ὄξος. 67 c.
77. ἀρτύματα. 67 f.
77. κύμινον. 68 a.
78. πέπων. 68 c.
79. θρίδαξ. 68 f.
82. κινάρα. 70 a.
82. κυνόσβατος. 70 c.
83. κάκτος. 70 d.
83. κάρδυος. 70 e.
84. κινάρα. 71 a.
85. ἐγκέφαλος φοίνικος. 71 c.

## Γ

Cap. 1. Κιβώρια, κολοκάσια. P. marg. 72 a.
3. θεήλατος ὑδάτων καὶ φυτῶν ὄλεθρος διὰ φειδωλίαν τῶν κεκτημένων. 73 b.
4. σικυοί. 73 e.
6. σῦκα. 74 c.
20. μῆλα. 80 e.
30. ὄστρεα. 85 c.
45. μαργαρῖτις. 93 a.
47. ἐφθοπώλιον. 94 c.
51. ὀνοματοθῆραι. 96 f.
57. μήτρα. 100 b.
60. Ἐπικούρεια. 101 f.
64. μαλακόστρακα. 104 d.
68. ταγηνιστὰ ἥπατα. 106 f.
73. ἄρτοι. 109 a.
84. ταρίχη. 116 a.
94. ποτόν. 121 f.
100. χόνδρος. 126 a.

## Δ

2. Καράνου δεῖπνον. 128 c.
7. δεῖπνον Κότυος. 131 a.
8. δεῖπνον Ἀττικόν. 131 f.
8 sq. διάφορα Συμπόσια. 132 c.
10. Ἀναστοματικά. 133 a.
12. ὄρχησις συμποτῶν. 134 a.
13. παρῳδία. 134 d.
15. Λακεδαιμονίων δίαιτα. 138 b.
19. Λακεδαιμονίων Καρνεῖα. 141 e.
20. δίαιτα Λακεδαιμονίων. 141 f.
22. Κρητῶν δίαιτα. 143 a.
23. Περσῶν δίαιτα. 143 f.
28. Δεῖπνον Φιλοξένου. 146 f.
29. Κλεοπάτρας δεῖπνον. 147 e.
31. Ἀρκαδικὸν δεῖπνον. 148 f.
32. Ναυκρατιτῶν δεῖπνον· 149 d.
33. καὶ Αἰγυπτίων· 150 b.
34. καὶ Γαλατῶν· 150 d.
35. Θρακῶν· 150 f.
36. Κελτῶν· 151 e.
38. Πάρθων· 152 f.
38. Ρωμαίων· 153 c.

Cap. 39. *Γερμανῶν*. P. marg. 153e.
40. *μονομαχία καὶ ὄρχησις*. 154a.
42. *βρόχος*. 155e.
44. *Κυνικὸν δεῖπνον*. 156c.
44. *φακῆ*. 156d.
49. *φιλαργυρίας διαβολή*. 159a.
50. *φακῆ*. 159e.
52. *δίαιτα Πυθαγόρειος*. 160f.
53. *διασυρτικὰ φιλοσόφων*. 161f.
58. *ἡδυλόγοι καὶ ἄσωτοι*. 164e.
68. *μαγειρικὰ σκεύη*. 169b.
69. *ἡδύσματα*. 170a.
70. *τραπεζοποιοί*. 170d.
73. *Δήλιοι, μάγειροι*. 172f.
74. *Δελφοί, καρυκοποιοί*. 173c.
75. *ὄργανα μουσικά*. 174a.
4. *περὶ τοῦ, Αὐτόματος δέ οἱ ἦλθε*. 177c.
5. *Μενέλαος οὐ μαλακός*. 178a.
6. *κοσμιότης Ὁμηρικοῦ δαιτυμόνος*. 179a.
9. *συμπόσιον Ὁμηρικοῦ Μενελάου*. 180c.
81. *μουσικὴ Ἀλεξανδρέων*. 183d.
84. *σπουδὴ τῶν παλαιῶν περὶ τὴν μουσικήν*. 184c.

## Ε

1. *Παλαιοὶ συνδειπνοῦντες*. 185a.
3. *συμπόσιον Ὁμηρικὸν καὶ Πλατωνικόν*. 186d.
13 *Ξενοφῶντος συμπόσιον*. 187f.
15. *αὐλή*. 189b.
16. *Μενελάου συμπόσιον*. 190a.
18. *Πλάτωνος καὶ Ὁμήρου συμπόσιον*. 192a.
21. *Ἀντίοχος ὁ Ἐπιμανής*. 193c.
22. *Ἀντιόχου πομπεία*. 194c.
25. *Φιλαδέλφου πομπή*. 196a.
36. *Φιλαδέλφου πλοῦτος* 203c.
37. *Φιλοπάτορος ναῦς*. 203e.
40. *Ἱέρωνος ναῦς*. 206d.
44. *Ἀντιγόνου τριήρης*. 209e.
45. *ἐγγυθήκη*. 209f.
46. *Ἀντιόχου συμπόσιον*. 210d.
47. *Ἀλεξάνδρου συμπόσιον*. 211a.
Cap. 47. *Ἀθηνίων φιλόσοφος, τυραννήσας*. P. marg. 211d.
53. *Ἀπελλικῶν*. 214d.
55. *Σωκράτους ψευδοστρατεῖαι*. 215c.
56. *Ξενοφῶν παρὰ τοὺς χρόνους ἁμαρτάνων*. 216c.
57. *Πλάτων παρὰ τοὺς χρόνους ἁμαρτάνων*. 217c.
60. *Σωκράτης*. 218e.
62. *φιλόσοφοι κακηγόροι*. 220a.
64. *Γοργών*. 221b.
64. *ὀπισθονόμοι βοῦς*. 221e.
65. *κατὰ γραμματικῶν*. 222a.

## Ϛ

1. *Τραγῳδία*. 222a.
3. *ἀποδοῦναι καὶ δοῦναι*. 223d.
4. *ἰχθυοπῶλαι*. 224c.
13. *πίναξ*. 228c.
14. *τήγανον*. 228e.
15. *ἀργυρώματα*. 229b.
19. *σπάνις Χρυσοῦ*. 231b.
25. *Γαλάται Βρέννου*. 234b.
26. *παράσιτοι*. 234c.
53. *κόλακες*. 248c.
76. *φιλοκόλακες*. 259f.
78. *φιλογέλωτες*. 261b.
80. *ἀλαζών*. 261f.
81. *δοῦλοι*. 262b.
94. *ἀγαθὰ αὐτόματα*. 267e.
99. *Κυνικὸς πεινῶν*. 270b.
101. *δούλων πλῆθος*. 271d.
105. *Ῥωμαίων ἐγκώμιον*. 273a.

## Ζ

1. *Φαγήσια*. 275a.
2. *Λαγηνοφόρια*. 276a.
5. *ἐλλοί*. 277c.
6. *ἀμίαι*. 277e.
7. *Ἀρχέστρατος*. 278a.
8. *Ἡδονικοί*. 278d.
14. *Ταντάλου μῦθος*. 281b.
15. *ἀλφησταί*. 281e.
16. *ἀνθίας*. 282a.

Cap. 18. *πομπίλος*. P. marg. 282 f.
18. *ἱερὸς ἰχθύς*. 282 f.
22. *ἀφύαι*. 284 f.
25. *ἄχαρνος*. 286 a.
26. *βατίς, βάτραχος, βάτος*. 286 b.
27. *βῶκες*. 286 e.
28. *βεβράδες*. (*βεμβράδες*.) 287 b.
29. *βέλεννος*. (*βλέννος*.) 288 a.
30. *βούγλωσσος*. 288 a.
31. *γόγγροι*. 288 c.
33. *Ζεὺς Μενεκράτης*. 289 a.
35. *Θεμίσων Ἡρακλῆς*. 289 f.
36. *μαγείρων ἀλαζονεία*. 290 b.
42. *γόγγρος*. 293 f.
43. *γαλεός*. 294 c.
45. *γλαῦκος*. 295 b.
47. *Γλαῦκος ὁ δαίμων*. 296 a.
49. *γναφεύς*. 297 c.
50. *ἐγχέλεις*. 297 c.
51. *τάριχοι θυόμενοι*. 297 e.
57. *ἔλλοψ*. 300 d.
58. *ἐρύθρινος*. 300 e.
59. *ἐγκρασίχολοι*. 300 f.
60. *ἑψητός*. 301 a.
61. *ἥπατος*. 301 c.
61. *λεβίας*. 301 c.
62. *ἠλακατῆνες*. 301 d.
63. *θύννος*. 301 e.
67. *θυννίς*. 303 c.
68. *ἵππουροι*. 304 c.
69. *ἵππος*. 304 e.
70. *ἰουλίδες*. 304 f.
71. *κίχλαι*. 305 a.
71. *κόσσυφοι*. 305 a.
72. *κάπρος*. 305 d.
72. *κρέμυς*. 305 d.
73. *κίθαρος*. 305 f.
74. *κόρδυλος*. 306 b.
75. *κάμμαροι*. 306 c.
76. *καρχαρίαι*. 306 d.
77. *κεστρεύς*. 306 d.
81. *κορακῖνος*. 308 d.
82. *κυπριανός*. 309 a.
83. *κωβιοί*. 309 b.
84. *κόκκυγες*. 309 e.
85. *κύων καρχαρίας*. 310 a.
86. *λάβρακες*. 310 e.
Cap. 88. *λάτος*. P. marg. 311 e.
89. *λειόβατος*. *ῥίνη*. 312 b.
90. *μύραιναι*. 312 b.
91. *μύρος*. 312 e.
92. *μαινίδες*. 313 a.
93. *μελάνουρος*. 313 c.
93. *μελανδέρινος*. 313 d.
94. *μορμύρος*. 313 e.
95. *νάρκη*. 314 a.
96. *ξιφίας*. 314 e.
97. *ὀρφώς*. 315 a.
98. *ὄρκυνος*. 315 c.
99. *ὄνος καὶ ὀνίσκος*. 315 e.
100. *πολύπους*. 316 a.
105. (*ναυτίλος*.) 317 f.
108. *πάγουρος*. 319 a.
109. *πηλαμύς*. 319 a.
110. *πέρκαι*. 319 b.
110. (*φυκίς*.) 319 c.
111. *ῥαφίδες*. 319 c.
112. *ῥίνη*. 319 d.
113. *σκάρος*. 319 e.
114. *σπάρος*. 320 c.
115. *σκορπίος*. 320 d.
116. *σκόμβρος*. 321 a.
117. *σαργοί*. 321 a.
118. *σάλπη*. 321 d.
119. *συνόδοντες καὶ συναγρίς*. 322 b.
120. *σαυρός*. 322 c.
120. *σκεπινός*. 322 e.
121. *σκίαινα*. 322 f.
121. *συαγρίδες*. 322 f.
122. *σφύραιναι*. 323 a.
123. *σηπία*. 323 c.
125. *τρίγλη*. 324 c.
128. *ταινίαι*. 325 f.
129. *τράχουροι*. 326 a.
129. *ταυλωπίας*. 326 b.
130. *τευθίς*. 326 b.
130. *τεῦθος*. 326 c.
131. *ὗες*. 326 e.
132. *ὗκαι*. 327 a.
133. *φάγρος*. 327 c.
134. *χάνναι*. 327 f.
135. *χρόμις*. 328 a.
136. *χρύσοφρυς*. 328 a.

Cap. 137. χαλκίδες. P. marg. 328c.
138. (Θρᾶτται.) 329 b.
139. ψῆτται. 329 e.

### Η

2. Ἰχθύων ἰδιότητές τινων. 331 c.
6. ὑετὸς ἰχθύων. 333 a.
10. Νέμεσις, Ἑλένης μήτηρ. 334 c.
12. Βριζώ. 335 a.
13. Φιλαινίς. 335 b.
13. Ἀρχέστρατος. 335 d.
14. ἀπολαυστικὰ παραγγέλματα. 336 b.
18. Δωρίων. 337 b.
20. Λᾶσος. 338 b.
21. (Φάϋλλος.) 338 d.
21. φιλίχθυες. 338 e.
21. ὀψοφάγοι. 338 e.
40. (Τελεσταγόρας.) 348 b.
41. Στρατονίκου εὐτράπελα ἀποφθέγματα. 348 d.
46. Στρατονίκου θάνατος. 352 d.
47. Ἀριστοτέλους περιεργία. 352 d.
51. ἰχθύων ἰατρικά. 335 a.
59. Κορωνισταί. 359 d.
60. χελιδονίζειν. 360 b.
61. ἰχθυομαντεία. 360 e.
63. βαλλισμός. 362 a.
64. εἰλαπίναι. 362 d.
65. θεοὶ παρόντες εὐωχουμένοις. 363 d.
68. ἐπιδόσιμα. 364 f.
68. ἀπὸ σπυρίδος δεῖπνον. 365 a.
68. (σύνδειπνον.) 365 b.
68. συναγώγιμα. 365 b.
68. συμβολαί. 365 d.

### Θ

1. Τακερόν. 366 a.
2. νᾶπυ. (σίνηπυ.) 366 d.
5. (ἔμβαμμα.) 368 c.
6. κωλῆ. 368 d.
8. γογγυλίς. 369 a.
8. βουνιάς. 369 b.
9. κράμβη. 369 e.

Cap. 11. σεῦτλα. P. marg. 370 f.
12. σταφυλῖνος. 371 b.
13. κεφαλωτόν. 371 e.
13. (γήθιον.) 371 f.
14. κολοκύντη. 372 b.
15. ὄρνεις. 373 a.
16. Ἀναξανδρίδης. 374 a.
17. δέλφαξ. 374 d.
18. πεταλίδες σύες. 376 a.
18. λαρινοὶ βόες. 376 b.
20. πολυμάθεια μαγείρων. 376 e.
24. ἑπτὰ σοφοὶ μαγειρικῆς. 379 d.
25. παραφέρειν. 380 d.
25. γεύματα. 380 e.
26. χοῖρος ἡμίεφθος. 381 a.
27. ἐξαίρεσις. 381 c.
28. μάγειρος Πλατωνικός· ἢ ἀρχαιολεξία μαγείρου. 381 f.
32. χῆνες σιτευτοί. 384 a.
33. ἡμίκραιραι. 384 c.
33. κρεωκάκκαβος. 384 d.
33. ἀναβραστά. 384 e.
33. ὄρχεις. 384 e.
34. ὀξάλμη. 385 b.
35. ὀψάριον. 385 d.
36. ἔμψυχα ἐσθίειν. 386 c.
36. ὀλβιογάστωρ. 386 e.
37. φασιανικοί. φασιανός. 386 f.
39. ἀτταγᾶς. 387 f.
40. πορφυρίων. 388 b.
40. πορφυρίς. 388 d.
41. πέρδιξ. 388 e.
44. ὦτιδες. (ὦτοι.) 390 d.
45. σκῶπες. 391 a.
46. ἀλεκτρυών. 391 d.
46. στρουθός. 391 e.
47. ὄρτυγες. 392 a.
48. χέννια. 393 c.
49. κύκνος. 393 d.
49. (γέρανος.) 393 e.
50. φάσσαι, περιστεραί. 393 f.
52. νῆτται. 395 c.
52. κολυμβίς. 395 d.
54. γαλαθηνά. 396 b.
55. δορκάς. 397 a.
56. ταώς. 397 a.
58. τέτραξ. 398 b.

Cap. 59. ψύαι. P. marg. 399 a.
60. οὖθαρ. 399 c.
60. ὑπογάστριον. 399 d.
61. λαγώς. 399 d.
63. κούνικλος. 400 f.
63. χελιδονίαι λαγωοί. 401 a.
64. Καλυδώνιος σῦς. 401 b.
64. σύαγρος. 401 d.
65. ἀσχέδωρος. 402 b.
66. ἔριφοι. 402 c.
68. ῥοδουντία λοπάς. 403 d.
68. μαγειρικὰ παραγγέλματα. 403 f.
70. ῥοδωνία λοπάς. 406 a.
71. Ἡγήμων παρῳδός. 406 d.
73. Τηλεμάχου χύτρα. 407 d.
75. χειρόνιπτρον. 408 b.
78. ἀπόνιμμα. 409 f.
79. χειρόμακτρον. 410 b.
79. ὠμόλινον. 410 d.
80. Ἡρακλέα παῖς ῥάνας. 410 f.

I

1. Ἡρακλῆς ἀδηφάγος. 411 a.
2. Λεπρεὺς περὶ πολυφαγίας ἐρίζων Ἡρακλεῖ. 411 c.
4. Μίλων ὁ Κροτωνιάτης ὅλον βοῦν καταφάγει. 412 e.
4. ἀθληταὶ πολυφάγοι. 413 b.
5. διαβολὴ ἀθλητῶν. 413 c.
11. Βοιωτοὶ πολυφάγοι. 417 b.
13. Αἰγύπτιοι ἀρτοφάγοι. 418 e.
13. Βόκχορις καὶ ὁ πατὴρ αὐτοῦ Νεόχαβις μετρίᾳ τροφῇ χρῶνται. 418 e.
13. αὐτάρκεια Πυθαγόρου. 418 e.
13. εὐτέλεια διαφόρων. 419 a.
15. Μενεδήμου συμπόσιον. 419 e.
16. Ἀρκεσιλαείου δείπνου εὐθυμία. 420 c.
17. μάχιμα δεῖπνα. 420 e.
19. γαστρὸς πέρι διαβολή. 422 a.
20. δεδείπναμεν. 422 e.
22. ζωρότερον. 423 d.
23. κύαθος. 424 a.
24. ἀκρατέστερον πίνειν. 424 d.
24. οἰνοχόοι εὐγενεῖς. 424 e.

Cap. 25. οἰνόπται ἐν συμποσίοις. P. marg. 425 a.
28. κρᾶσις οἴνου. 426 c.
29. Σκυθικὴ πόσις. 427 b.
30. κοτταβίζειν. 427 d.
31. οἰνοποσία. 428 a.
33. οἶνος μεθύσκων. 428 e.
33. Ἀλκαῖος φίλοινος. 429 a.
33. Ἀριστοφάνης φίλοινος. 429 a.
34. ὑδροποτεῖν. 429 c.
36. οἴνου κρᾶσις. 430 d.
39. ὅσα Πλάτων περὶ οἴνου. 431 f.
40. οἶνος ἠλφιτωμένος. 432 b.
41. Λακεδαιμονίων προπόσεις. 432 d.
42. Νέστορος φιλοποσία. 433 b.
43. διψῶ. 433 e.
44. Πρωτέας ὁ Μακεδὼν πολυπότης. 434 a.
44. Ἀλεξάνδρου πολυποσία. 434 b.
45. μέθυσοι ἀναφρόδιτοι. 434 f.
46. Φιλίππου φιλοποσία. 435 a.
47. φιλοπῶται. 435 d.
49. Χόες ἑορτή. 437 c.
50. Διονύσιος Ἡρακλεώτης. 437 e.
51. Ἀντίοχος φιλοπότης. 438 c.
51 sqq. πολυπόται βασιλεῖς. 438 c sqq.
56. Ῥωμαίων καὶ Ἰταλῶν γυναῖκες νήφουσαι. 440 e.
57. γυναῖκες φιλοπότριαι. 441 b.
59. φίλοινα ἔθνη. 442 b.
61. μέθη, μητρόπολις τῶν δεινῶν. 443 d.
62. οἶνος Ἀφροδίτης γάλα. 444 d.
63. κυβεία Ῥοδίων περὶ γυναικῶν. 444 f.
63. Ἀνθέας εὑρετὴς ποιήσεως τῆς διὰ συνθέτων, καὶ Ἀσωπόδωρος. 445 a.
64. πάροινος. 445 b.
64. ἀρρυθμοπότης. 445 d.
64. ποτικός. 445 e.
64. τὸ μεθύειν τὰς ὄψεις πλανᾷ. 445 f.
65. πῖθι et πίε. 446 a.
66. πίομαι. 446 d.

Cap. 66. ἐπίστιος. P. marg. 446 f.
67. τὸ πῖνον. 447 a.
67. βρύτον. 447 b.
68. Διόνυσος. 447 d.
69 sq. γρῖφοι. 448 b.
86. ζημία τοῖς ἀξυνέτοις τῶν γρίφων. 457 d.

## ΙΑ

1. Περὶ ἐκπωμάτων. 459 a.
2. Ποτήρια. 460 b.
4. παλαιῶν τὰ ἐκπώματα μικρά. 461 a.
5. Κυλικρᾶνες. 461 e.
6. κύλικες. 462 b.
6. Κάδμου μνῆμα. 462 b.
7. Ξενοφάνους συμποτικά, καὶ Ἀνακρέοντος, καὶ Ἴωνος. 462 c.
9. τὸ ζῆν τί ἐστι. 463 d.
10. τρόποι πόσεων διάφοροι. 463 e.
11. κεράμια. 464 a.
11. Ῥοδιακαὶ χυτρίδες. 464 c.
12. διάφοροι μανίαι. 464 d.
13. διονυσιάζοντες. 465 a.
13. διὰ τί Νύμφαι τροφοὶ Διονύσου. 465 a.
14. πολλῶν κτῆσις ἐκπωμάτων. 465 c.
30. γραμματικὸν ἔκπωμα. 466 e.
30. ο καὶ υ χρῆσις. 466 f.
31. γυάλα. 467 c.
32. δεῖνος. 467 d.
33. δέπαστρον. 468 a.
34. δακτυλωτόν. 468 c.
35. ἐλέφας. 468 f.
36. ἔφηβος. 469 a.
37. ἡδυποτίς. 469 b.
38. Ἥλιος διὰ ποτηρίου κομιζόμενος εἰς τὴν δύσιν. 469 d.
40. ἠθάνιον. 470 d.
40. ἡμίτομος. 470 d.
41 sqq. θηρίκλειος. 470 e.
44. ἴσθμιον. 472 e.
45. κάδος. 472 e.
46. καδίσκος. 473 b.
46. Ζεὺς Κτήσιος. 473 c.
Cap. 47. κάνθαρος. P. marg. 473 d.
49. καρχήσιον. 474 e.
49. κάλπιον. 475 c.
50. κελέβη. 475 c.
51. κέρας. 456 a.
53. κισσύβιον. 476 f.
53. κυμβίον. 477 d.
54. κιβώριον. 477 e.
55. κόνδυ. 477 f.
55. Κονώνειος. 478 b.
56. κότυλος. 478 b.
57. κοτύλη. 478 d.
57. ἡμίνα. 479 a.
58. κοτταβίς. 479 c.
59. κρατάνιον. 479 f.
59. κρουνεῖα. 480 a.
59. κυαθίς. 480 b.
60. κύλιξ. 480 b.
60. κυλικηγορεῖν, 480 b.
60. φοξίχειλος. 480 d.
61. κυλιχνίδες. 480 f.
65. κύπελλον. 482 e.
65. κύμβη. 483 a.
66. κώθων. 483 b.
68. λαβρωνία. 484 c.
69. λάκαιναι. 484 f.
70. λεπασταί. 484 f.
71. λοιβάσιον. 486 a.
71. σπονδεῖον. 486 a.
71. λέσβιον. 486 a.
71. λουτήριον. 486 b.
72. Λυκιουργεῖς. 486 c.
73. μέλη. 486 e.
73. μετάνιπτρον. 486 f.
74. μαστός. 487 b.
74. μαθαλλίδες. 487 c.
75. Μάνης. 487 c.
76 sq. Νεστορίς. 487 f.
85. Σωσίβιος ὁ Λυτικός. 493 c.
86. ὅλμος. 494 b.
87. ὀξύβαφον. 494 b.
88. οἰνιστηρία. 494 f.
88. ὄνυξ [immo ὄλλιξ.] 494 f.
89. Παναθηναϊκόν. 494 f.
89. πρόαρον. 495 a.
90. πελίκαι. 495 a.
91. πέλλα. 495 c.

Cap. 92. *πενταπλόα*. P. marg. 495 e.
92. *πέταχνον*. 496 a.
93. *πλημοχόη*. 496 a.
93. *πρίστις*. 496 b.
94. *προχύτης*. 496 c.
94. *Προυσιάς*. 496 d.
95. *ῥέοντα*. 496 e.
96. *Ῥοδιάς*. 496 e.
97. *ῥυτόν*. 496 f.
98. *σαννάκρα*. 497 e.
98. *Σελευκίς*. 497 f.
99. *σκύφος*. 498 a.
99. *προπίνειν*. 498 c.
100. *λάγυνον*. 499 b.
101. *σκυθίσαι*. 499 f.
101. *Βοιώτιοι, οἱ καὶ Ἡρακλεωτικοί*. 500 a.
102. *ταβαῖται*. 500 d.
102. *τραγέλαφοι*. 500 d.
102. *τριήρης*. 500 f.
102. *ὑστιακόν*. 500 f.
103. *φιάλη*. 500 f.
103. *φιάλη ἀμφίθετος*. 501 a.
104. *βαλανειόμφαλοι*. 501 d.
105. *ἀργυρίς*. 502 a.
105. *χρυσίς*. 502 a.
107. *χυτρίδες*. 502 b.
108. *ψυγεὺς ἢ ψυκτήρ*. 502 c.
110. *ᾠδός*. 503 d.
110. *ᾠοσκύφια*. 503 e.
110. *ᾠόν*. 503 f.
111. *κύκλῳ πίνειν*. 504 a.
111. *κρατηρίζειν*. 504 b.
112. *Ξενοφῶν καὶ Πλάτων φιλονείκως ἔχοντες πρὸς ἀλλήλους*. 504 e.
112. *Ἀλεξαμενὸς εὑρετὴς διαλόγων*. 505 b.
113. *Πλάτωνος κακολογία*. 505 d.
114. *Πλάτων πρὸς ἅπαντας δυσμενής*. 506 a.
116. *Πλάτωνος κακοήθεια πρὸς πάντας*. 507 a.
116. *Πλάτων φιλόδοξος*. 507 d.
117. *κατὰ Πλάτωνος*. 507 f.
Cap. 119. *Πλάτωνος μαθηταὶ τυραννικοί*. P. marg. 508 d.
120. *Πλατωνικῶν διασυρτικά*. 509 c.

## *IB*

2. *Ἡδονή*. 510 c.
3. *καθ' ἡδονῆς*. 511 a.
4. *ὑπὲρ ἡδονῆς*. 511 d.
6. *Ἡρακλῆς φιλήδονος*. 512 e.
7. *τρυφή, τέλος τοῦ βίου*. 513 e.
8. *Περσῶν τρυφή*. 513 f.
8. *Περσῶν βασιλέως τρυφή*. 513 f.
9. *προσκεφάλαιον βασιλικόν*. 514 f.
11. *Λυδῶν τρυφή*. 515 d.
11. *Ὀμφάλη*. 515 f.
11. *Μίδας*. 516 b.
12. *συγγραφεῖς Ὀψαρτυτικῶν*. 516 c.
12. *καρύκη*. 516 c.
12. *κάνδαυλος*. 516 c.
13. *βασιλεὺς τῆς λιβανοφόρου*. 517 b.
14. *Τυρρηνῶν ἡδυπάθεια*. 517 d.
14. *Τυρρηνῶν ἡδυπάθεια*. 518 a.
15. *Σικελῶν τρυφή*. 518 c.
15. *Συβαριτῶν τρυφή*. 518 c.
16. *Μασανάσσου φιλοστοργία*. 518 f.
19. *ἵπποι ὀρχούμενοι πρὸς αὐλόν*. 520 c.
20. *Συρακουσίων νόμος κατὰ τῆς τρυφῆς*. 521 b.
20. *Συβαριτῶν νόμοι περὶ τρυφῆς*. 521 c.
21. *Συβαριτῶν ὄλεθρος*. 521 d.
22. *Κροτωνιατῶν τρυφή*. 522 a.
23. *Ταραντίνων τρυφή*. 522 d.
24. *Ἰαπύγων τρυφὴ καὶ ἀπώλεια*. 522 f.
25. *Μασσαλιωτῶν τρυφή*. 523 c.
25. *Σιριτῶν τρυφή*. 523 c.
26. *Μιλησίων*. 523 e.
27. *Σκυθῶν ὕβρις καὶ ῥῆσις*. 524 c.
27. *ἀποσκυθίσαι*. 524 f.

Cap. 28. *Ἀβυδηνῶν τρυφή*, P. marg. 524 f.
29. *καὶ Ἐφεσίων*. 525 c.
30. *Σαμίων*. 525 e.
31. *Κολοφωνίων*. 526 a.
31. *Ἰώνων*. 526 d.
32. *Βυζαντίων καὶ Χαλκηδονίων*. 526 e.
33. *Θετταλῶν τρυφή*. 527 a.
33. *Φαρσαλίων*. 527 a.
33. *Αἰτωλῶν*. 527 b.
34. *Συρακοσίων*. 527 c.
35. *Ἀρυκανδέων*. 527 f.
35. *Ζακυνθίων*. 528 a.
36. *Καπυησίων*. 528 b.
37. *Κουρήτων*. 528 c.
37. *Κυμαίων*. 528 d.
38. *Νινύου τρυφή, καὶ Σαρδαναπάλου*. 528 e.
40. *Σαγάριος*. 530 c.
40. *Ἀνναρου*. 530 d.
40. *Νίνου*. 530 e.
41. *Στράτωνος ἡδυπάθεια*. 531 a.
41. *Στράτωνος καὶ Νικοκλέους τρυφὴ ἐνάμιλλος*. 531 c.
42. *Κότυος τρυφή*. 531 e.
43. *Χαβρίου*. 532 b.
43. *Ἰφικράτους*. 532 b.
43. *Τιμοθέου καὶ Κόνωνος*. 532 b.
43. *Χάρητος*. 532 b.
44. *Πεισιστρατιδῶν τρυφή*. 532 f.
44. *Πεισιστράτου μετριότης*. 532 f.
45. *Περικλέους τρυφή*. 533 c.
45. *Θεμιστοκλέους ἀκρασία*. 533 d.
46. *Ἀρτέμωνος τρυφή*. 533 e.
47. *Ἀλκιβιάδου τρυφή*. 534 b.
49. *Ἀλκιβιάδου ἐξαλλαγὴ πατρίου στολῆς, καὶ Παυσανίας ἐκδεδιῃτημένος*. 535 e.
50. *Δημητρίου τρυφή*. 535 f.
51. *Φάραγγος ἀσέλγεια*, 536 b.
51. *καὶ Ἀρχιδάμου*. 536 c.
51. *Ἰσάνθου*. 536 d.
51. *Πτολεμαίου τοῦ Φιλαδέλφου*. 536 e.
52. *Καλλίου τοῦ πλουσίου τρυφή*. 536 f.
Cap. 53. *τρυφὴ Ἀλεξάνδρου τοῦ μεγάλου*. P. marg. 537 d.
53. *πολυτέλεια Ἀλεξάνδρου*. 537 e.
54. *Ἀλεξάνδρου γάμοι μεγαλοπρεπεῖς*. 538 b.
55. *σκηνὴ Ἀλεξάνδρου*. 539 d.
56. *Ἀντιόχου ὑποδοχαὶ λαμπραί*. 540 a.
57. *Πολυκράτης*. 540 c.
57. *Σαμίων λαύρα*. 540 f.
59. *Γέλωνος κολυμβήθρα. κέρας Ἀμαλθείας*. 541 f.
60. *Δημητρίου Φαληρέως ἡδυπάθεια*. 542 b.
61. *Λευκούλλου τρυφή*. 543 a.
62. *Παρρασίου τοῦ ζωγράφου τρυφή*. 543 c.
63. *Ἀριστίππου*. 544 a.
63. *φιλοσόφων τρυφερότης*. 544 f.
64. *Πολύαρχος ἡδονῆς ὑπερλαλῶν*. 545 a.
66. *Σπεύσιππος φιλήδονος*. 546 d.
67. *Ἐπικούρειοι*. 546 e.
68. *φιλοσόφων διωγμός*. 547 a.
68. *Σοφοκλῆς ἡδονῆς εἰσηγητής*. 547 c.
69. *Λύκωνος περιπατητικοῦ τρυφερότης*, 547 d.
70. *καὶ Ἀναξάρχου*. 548 b.
71. *ὀλιγοδίαιτοι*. 548 d.
72. *βλάβη ἡ ἐκ τρυφῆς*. 548 f.
72. *πάχος Διονυσίου τοῦ Ἡρακλείας τυράννου*. 549 a.
73. *Πτολεμαίου τοῦ Εὐεργέτου πάχος*. 549 d.
73. *Ἀλέξανδρος κατάσαρκος*. 550 a.
74. *Ναυκλείδου πάχος*, 550 d.
74. *καὶ Πύθωνος*. 550 f.
75. *λεπτοί*. 551 a.
78. *μύρα εἰς πόδας, καὶ μύροις ἀλειφόμενοι πόδας*. 553 a.
79. *διὰ τί ἄνθη μετὰ χεῖρας*. 553 e.
80. *καλλίπυγος*. 554 c.
81. *ἡδονὴ μαινομένων*. 554 e.

## ΙΓ


Cap. 2. Ἀριθμὸς γαμετῶν. P. marg. 555 d.
3. γαμεταὶ ζηλοτυποῦσαι παλλακάς. 556 c.
3. ἥρωες πολυγύναιοι. 556 e.
4. Αἰγεὺς πολυγύναιος. 556 f.
4. Θησεύς. 557 a.
5. Φίλιππος. 557 b.
5. Εὐριπίδης φιλογύνης. 557 e.
6. καθ' ἑταιρῶν. 557 f.
7. κατὰ γαμετῶν. 558 e.
11. περὶ Ἔρωτος. 561 a.
13. ἔρως πτηνός. 562 c.
15. ἐρώμενοι. 563 d.
16. ὀφθαλμοί. 564 b.
18. ξυρᾶσθαι. 564 f.
19. ὑπόκρισις Στωϊκῶν. 565 d.
20. κάλλος. 565 f.
21. Ἀρεοπαγῖται. 566 f.
21. βιβλία ἐρωτικά. 567 a.
21. ἑταῖραι ὀνομασταί. 567 c.
23. ἑταιρῶν σοφίσματα. 568 a.
24. ὑπὲρ τῶν ὀλιγομίσθων πορνιδίων. 568 d.
26. Λαῒς γεγηρακυῖα. 570 b.
28. Ἀφροδίτη Ἑταίρα. 571 c.
31. Ἀφροδίτη Πόρνη. 572 e.
32. Κορίνθιαι ἑταῖραι. 573 c.
33. Ἀφροδίσια ἑταιρῶν Κορινθίων. 574 b.
35. ἔρως κατ' ὄναρ. 575 a.
35. ἐρασθέντων κατ' ὄναρ γάμοι. 575 a.
36. Μασσαλιωτῶν γάμοι. 576 a.
37. διαφόρων ἑταῖραι βασιλέων. 576 d.
41. Μάχωνος Μανία ἑταίρα. 578 b.
43. Γνάθαινα. 580 e.
44. Γναθαίνιον. 581 a.
45. Λαίς. 582 c.
45. Γλυκέριον. 582 d.
45. Νικώ. 582 e.
45. Καλλιστώ. 583 a.
45. Ἵππη. 583 a.
45. Φρύνη. 583 b.
Cap. 46. ὀνόματα ἑταιρῶν. P. marg. 583 d.
46 sqq. εὔθικτοι Γναθαίνης ἀπαντήσεις. 583 f.
48. νόμος συσσιτικός. 585 b.
49. ἑταιρῶν ἀποφθέγματα διαφόρων. 585 c.
50. ἑταῖραι διάφοροι. 586 a.
53. Λεόντιον Ἐπικούρου. 588 b.
54. Λαίς. 588 c.
54. Θεοδότη. 588 d.
55. Λαΐδος πατρὶς καὶ τάφος. 589 a.
56. διαφόρων ἀνδρῶν ἐπιφανῶν ἐρώμεναι. 589 c.
57. τίγρις ἀρσενικῶς. 590 a.
59. Φρύνη. 590 d.
61. Θεωρίς. 592 a.
63. Δημοσθένους ἀκολασία. 592 e.
64. ἑταιρῶν κατάλογος. 593 a.
68. Ἀγὴν δρᾶμα. 595 e.
69. ἑταιρῶν κατάλογος. 596 b.
70. ἑταῖραι ποιητῶν. 597 a.
71. Ἑρμησιάνακτος ἑταῖραι φιλοσόφων. 597 b.
73. ἔρως ἁπανταχοῦ. 599 f.
74. Ἀνακρέων. 600 d.
75. Ἀλκμάν. 600 f.
75. ἐρωτικοὶ ποιηταί. 601 a.
77. παίδων ἔρωτες. 601 e.
81. Σοφοκλῆς φιλομεῖραξ. 603 e.
82. Σοφοκλῆς ὑπὸ μειρακίου λωποδυτούμενος. 604 e.
83. ἀναθήματα δωρηθέντα παιδικοῖς. 605 b.
84. ἀγαλμάτων ἐρασταί. 605 e.
85. ζῶα ἀνθρώπων ἐρασθέντα. 606 b.
85. δελφὶν παιδεραστής, 606 d.
85. καὶ ἐλέφας. 606 f.
86. Περσαῖος Κιτιεύς. 607 a.
87. μουσουργοὶ γυναῖκες. 607 f.
89. ἐπὶ κάλλει διαβόητοι γυναῖκες. 608 f.
90. ἀγὼν κάλλους. 609 e.
91. πολυμάθεια. 610 b.
92. φιλόσοφοι ἐξελαυνόμενοι. 610 e.

Cap. 93. *Κυνικοί.* P. marg. 611 b.
93. *Αἰσχίνης Σωκρατικός.* 611 d.
94. *Λυσίας κατ' Αἰσχίνου.* 611 e.

ΙΔ

1. *Διόνυσος μαινόμενος.* 613 a.
2. *γελωτοποιοί.* 613 d.
3. *φιλογέλωτες.* 614 e.
5. *πλάνοι.* 615 e.
6. *φιλοσκῶπται.* 616 b.
7. *αὐλοὺς Ἀθηνᾶ ῥίπτουσα.* 616 e.
9. *ξυναυλία.* 617 f.
10. *ᾠδῆς ὀνομασίαι.* 618 d.
12. *ῥαψῳδοί.* 620 b.
12. *Κάσανδρος φιλόμηρος.* 620 b.
13. *ἱλαρῳδοί.* 620 d.
13. *Σωτάδης.* 620 e.
13. *μαγῳδοί.* 620 e.
15. *δικηλισταί.* 621 d.
15. *Θηβαῖοι κακοῦργοι φωνῶν.* 621 f.
16. *αὐτοκάβδαλοι.* 622 b.
16. *φαλλοφόροι.* 622 c.
17. *Ἀμοιβεὺς κιθαρῳδός.* 622 d.
18. *μουσικῆς ἐγκώμιον.* 623 e.
18. *ἁρμονίαι.* 624 b.
22. *τὸ χρήσιμον μουσικῆς.* 626 a.
23. *ποιηταὶ μᾶλλον ἀνδρείᾳ ἢ ποιητικῇ σεμνυνόμενοι.* 627 a.
24. *τὸ χρήσιμον μουσικῆς.* 627 d.
25. *ὀρχήσεις.* 628 c.
27. *ὀρχήσεων ὀνομασίαι.* 629 d.
29. *πυρρίχη.* 630 e.
29. *Τυρταίου ἔπη.* 630 f.
31. *Μουσικῆς ἀρχαίας ἐγκώμιον.* 631 e.
32. *Ὁμήρου στίχοι.* 632 d.
33. *ἀρχαία μουσική.* 632 f.
33. *χορηγοί.* 633 a.
34. *σαμβύκη.* 633 f.
35. *μάγαδις.* 634 c.
35. *Ἀρίσταρχος μάντις.* 634 c.
37. *βάρβιτος.* 635 d.
37. *πηκτίς.* 635 e.
37. *Καρνείων θέσις. Τερπάνδρου χρόνοι.* 635 e.

Cap. 37. *Λυκούργου χρόνοι.* P. marg. 635 f.
39. *κρεμβαλίζειν.* 636 c.
40. *φοῖνιξ.* 637 b.
41. *τρίπους.* 637 b.
42. *εὑρεταὶ διαφόρων ἐν μουσικῇ.* 637 f.
42. *μοχθηρῶν ᾀσμάτων ποιηταί.* 638 c.
44. *ἑορταὶ ἐν αἷς οἱ δεσπόται τοῖς δούλοις ὑπηρέτουν.* 639 b.
44. *Σατουρνάλια.* 639 b.
45. *Πελώρια.* 639 d.
46. *ἐπιδορπίσματα.* 640 c.
46. *τραγήματα.* 640 c.
47. *δεύτεραι τράπεζαι.* 640 e.
50. *Φιλοξένου δεύτεραι τράπεζαι.* 642 f.
50. *Ἀντιφάνης περὶ Φιλοξένου.* 643 d.
51. *πλακοῦντες.* 643 e.
61. *πιστάκια.* 649 c.
62. *κόνναρα.* 649 f.
62. *παλίουρος.* 649 f.
63. *ἄπια.* 650 c.
63. *ἀμαμηλίδες.* 650 d.
63. *ἐπιμηλίς.* 650 e.
64. *σίδη.* 650 f.
65. *φοίνικες.* 651 b.
65. *λωτός.* 651 d.
66. *φοίνικες Νικολάειοι.* 651 f.
67. *ἰσχάδες.* 652 b.
67. *αἰγιλίδες.* 652 e.
67. *χελιδόνιαι.* 652 e.
67. *τιθράσιαι.* 652 f.
68. *βότρυς.* 653 b.
68. *σταφυλαὶ γενναῖαι.* 653 c.
69. *περιστέριον.* 654 a.
70. *ταώνων πλῆθος ἐν Ῥώμῃ.* 654 d.
71. *μελεαγρίδες.* 655 b.
72 *ὀπτοὶ δέλφακες.* 655 f.
72. *ἕψησις.* 656 a.
72. *φλογίδες.* 656 b.
73. *πέρδικες.* 656 c.
73. *Σιμωνίδου αἰσχροκέρδεια.* 656 c.

Cap. 73. οὖθαρ. P. marg 656 e.
74. ὄρνιθες σιτευτοί. 656 e.
74. δελφάκια. 656 f.
74. ἐγκράτεια Λακεδαιμονίων καὶ ὕβρις εἰς τοὺς Εἵλωτας. 657 b.
74. χηνίζειν. 657 e.
75. πετασών, ἢ πέρνα. 657 e.
75. Στράβωνος ἡλικία. 657 e.
75. Πομπέλων. 657 f.
76. τυροί. 658 a.
76. ἀποτράγημα. 658 c.
77. Κάδμος μάγειρος. 658 e.
77. Μαίσων. 659 a.
78. μάγειρος σπονδῆς προϊστάμενος. 659 d.
79. ἀξίωμα μαγειρικῆς. δρᾶν, τὸ θύειν. κήρυκες. 660 a.
79. τιμηταὶ Ῥωμαίων σφαγιάζοντες. 660 c.
80. Ἀθηνίωνος μάγειρος. 660 e.
82. μύμα. 662 d.
83. ματτύα. 662 f.
84. Μάχων Σικυώνιος. 664 a.

ΙΕ

2. Εὕρεσις κοττάβων. 666 b.
4. κότταβος κατακτός. 666 e.
5. κοτταβίζειν: ἀγκύλη. 667 b.
Cap. 7. κοτταβίων ἆθλον. P. marg. 668 c.
7. κότταβος Σικελοῖς περισπούδαστος. 668 e.
8. στέφανοι τῶν ἐρώντων διαλυόμενοι. 669 c.
9. Διονύσιος ὁ Χαλκοῦς. 669 d.
9. θύραι τῶν ἐρωμένων στεφανούμεναι. 670 d.
10. ἰσότης στεφάνων. 670 f.
11 et 18. Ναυκρατίτης στέφανος. 671 e et 675 f.
12. λύγινος στέφανος Σαμίων. 672 a.
15. Ἡφαιστίων τ' ἀλλότρια συγγράμματα σφετεριζόμενος. 673 e.
51. Ἀριστοτέλους σκολιόν, οὐ παιάν. 696 a.
52. παιᾶνες. 696 e.
53. καπυραὶ ᾠδαί. 697 b.
53. κολάβρων ποιητής. 697 c.
54. συρβηνέων χορός. 697 e.
55. παρῳδοί. 698 a.
57. λύχνων ὀνομασίαι. 699 d.
61. λυχνοκαυτία. 701 a.
62. ἰὴ παιών. 701 b.
63. Ὑγίεια. 702 a.

# INDEX RERUM.

## A

Abacus (κυλικεῖον) V 201 d. XI 460 d. 480 b.
Abates vinum e Cilicia I 33 b.
Abderae. praestantes mugiles III 118 c. VII 307 b. quilibet civis pro suo sensu novilunium indicebat VIII 349 b.
abramis piscis Niloticus VII 312 b.
Abrotonum meretrix Thressa, mater Themistoclis XIII 576 c.
absinthio conditos cibos amant Byzantii IV 132 e.
abstemii II cap. 21. 22.
abstinentia nimia non laudanda IV 163 b. c.
Abydos oppidum ad Hellespontum,

Milesiorum colonia XII 524 f. — 525 b. Ibi templum Veneris meretricis XIII 572 e. f. Abydenorum mollities et luxuria XII cap. 28. Abydena Medontias, vel Medontis, communis uxor Alcibiadis et Axiochi XII 534 f. XIII 574 e. Abydenorum epiphorema in proverbio dicitur vectigal et portorium XIV 641 a.

Abydos appellata Sinope meretrix, vetula cum esset XIII 586 a.

Abydos Aegypti oppidum XV 680 a.

abyrtaca condimenti genus II 68 a. III 124 b.

acacallis flos idem atque narcissus XV 681 a.

Academia, Platonis gymnasium II 59 d. in convivio ibi non licitum erat uti vase quod in urbe non esset fabricatum IV 137 f. Academiae novae lumen Clitomachus IX 402 c.

Academicos philosophos traducit Ephippus comicus XI 509 c. d.

Acanthium vinum I 30 e.

acarnan piscis VII 327 d. VIII 356 b. c.

ἄκατος poculum navigio simile XI cap. 23.

Acesas Salaminius Cyprius, vestium textor II 48 b.

Acestor parasitus VI 237 a.

acetum II 67 a. Atticis ἦδος dicitur II 67 c. acetum ex loti Libycae fructu paratum XIV 651 e. f. ex palmulis ibid. b.

achaeïnas vel achaeïnes panis III 109 e. f.

Achaia oppidum Rhodi a Phoenicibus habitatum, ubi dein fuit Ialysus oppidum VIII 360 e.

Acharnensium παράσιτοι VI 234 f.

acharnus piscis VII 286 a. b.

Achelous pro magna aquae copia X 427 d.

achillea maza III 114 f. VI 269 c. d.

Achilles meracius temperari vult vinum I 10 c. propemodum opprimit Aeneam I 12 a. Agamemnoni vinolentiam exprobrat I 11 b. X 433 b. Trambelum occidit II 43 d. licet urgeretur a legatis, tamen priusquam abiret diis sacrificavit IV 179 c. Nestorem poculo donat victorem in ludis X 433 d. lyra iram leniebat XIV 624 a. post Achillem Aiax fortissimus XV 695 c. 696 c. d. Achillis poculum pretiosum XI 781 c. Achillem parum pudico amore prosecutum esse Patroclum finxit Aeschylus XIII 601 a. b.

achilleum hordeum III 114 f.

Achilleus fons Mileti II 43 d.

Achradina pars urbis Syracusarum V 207 f.

aciniae coronae XV 680 d.

acipenser piscis, quem alii galeum Graecorum, alii ellopem esse aiunt VII 294 e.

Aconiae pisces apud Numenium VII 326 a.

aconitum planta denominata a loco prope Heracleam Ponticam, cui Ἀκόναι nomen III 85 b.

Acontius pueri nomen apud Callimachum XV 668 b.

ἀκράτισμα, ἄριστον I 11 b.

Acratopotes heros Munychiae religiose cultus II 39 c.

Acrisius apud Sophoclem multa aurea habuit pocula XI 466 a.

acroamata varii generis in conviviis XIV 614 d. 516 e.

Acrotatus, Arei filius, rex Lacedaemoniorum. vide Areus.

Acte pulchra. vide Calacte.

Acus piscis III 86 c. VII 319 c. dentibus caret et laevis est VII 305 d. similes pisces cestra, acus, saurus VII 328 a b.

ἄκυλος, glans ilicis II 50 f.

Adaeus, Cypselis degens XI 469 a.

Adaeus, cognomine gallus gallinaceus, dux mercenariorum Philippi, praelio victus a Charete XII 532e. De alio Adaeo vide indicem scriptorum.

Adiatomus, Sotianorum Gallici populi rex, sexcentos soldurios habet, qui cum eo vivunt et moriuntur VI 249b.

Adimantus, Demetrii Poliorcetae adulator, templum statuit Philae Aphroditae VI 255c. Adimanto ipsi aram et heroum posuerunt Athenienses adulantes Demetrio VI 253a.

Admeta, Eurysthei filia, Argis profuga Samum venit, ibique curam suscipit templi Iunonis XV 672a.

Adon, Phrygium et servile nomen tibicinis apud Alcmanem XIV 624b.

Adonia VII 292d. X 451b.

